Sed redeo ad Latinum, quem in longe maiore librorum contra Apionem parte magnam habere auctoritatem apparet. et multa ex eo aut corrigenda sunt aut iam ab aliis correcta uelut I 247 ὃς ex ὅθεν factum, § 251 ἃ παρίημι ex παρ᾽ ἡμῖν, § 292 Ῥαμέσσην ex μεσσήν, § 311 Ἱεροσολυμίτας ex Ἱεροσολύμους. II 119 in L legimus: τοῦ ναοῦ δ᾽ αἱ θύραι τὸ μὲν ὕψος ἦσαν ἑπτὰ πηχῶν, εἴκοσι δὲ τὸ πλάτος, κατάχρυσοι δὲ πᾶσαι etc.; sed quis umquam portas uidit septem cubitorum altitudinis, uiginti latitudinis? quare recte Latinus: *altitudine quidem erant cubitorum sexaginta, latitudine uero uiginti*[1]); II 236 recte Latinus *Molones* dat, perperam L Σόλωνες; denique praecipue memorandus est locus de sacrorum apud Graecos desolatione (II 253 sq.), quem Lat. interpolationibus quibusdam liberauit. sed ut supra in locis ab Eusebio traditis uidimus, sic in aliis quoque Latinus corruptelas Laurentiani habet, uelut II 228 μαρτυρίας pro καρτερίας, § 275 ἀπομίγνυνται corruptum ex ἀπόμνυται, quod ex coniectura restitui; et § 230 in loco manifestis interpolationibus corrupto nihil est auxilii in Latino; nam uerba suspecta τὸ καλὸν ἔργον καὶ φιλάνθρωπον ab eo non minus legebantur quam leguntur in L. et II 162 quamquam paullo emendatiora habuisse uidetur Iosephi uerba quam L, minime tamen sana repperit. at raro accidit, ut de suo adderet, id quod factum esse cernimus I 125 sorori Pygmalionis Didus nomine addito, quod ex Vergilio nouit.

Ceterum, id quod iam in uoluminis I praefatione monui, in Latino id molestum accidit, quod saepe intellegi nequit, qualia habuerit Graeca; omitto siquid non intellexit; neque enim raro lapsus est; sed nec particulas nec tempora satis distinguit, nec curat sententiarum nexum aut uerborum ordinem. est ubi omittat quae non intellexit aut difficilia eludat, nec deest, ubi quaedam adiecerit. quibus interdum difficultas haud exigua paratur; nam in tot Laurentiani corruptelis fieri potuit, ut re uera plura reppererit quam nos habemus. uelut II 118 (p. 68, 29) graecis addit *et hoc*, ut sit καὶ τοῦτο πολέμου συνεστηκότος, non male; nam saepe Iosephus ita loquitur, nec tamen necessarie. paullo post II 135 (p. 71, 11) *quod rite fecit* a Latino suppletur, quod sententiae tam aptum est, ut ex graeco libro petitum esse addendumque esse coniciam ὀρθῶς ποιῶν. sed cum ne hoc quidem necessarium sit, alii fortasse aliter iudicabunt. haec autem difficiliora aliaque Latini propria in appa-

1) cf. bell. Iud. V 5. 4.

ratu critico plerumque reperiri non poterunt, sed eis qui de Latino ubique certa desiderabunt ad ipsam uersionem recurrendum erit, quam mox ab academia Vindobonensi editam prodituram esse spero. ego interim eum libri II locum (§§ 52—113), quem solus seruauit Latinus, ad codicum fidem emendatum edidi. quem si perlegeris, intellegis quantas difficultates habeat quamque saepe non sufficiat ad Graeca uerba restituenda, qui quidem sine Graecis interdum uix intellegi possit; ut inde magis appareat maioris horum librorum partis fundamentum repositum esse in codice Laurentiano. quem dolemus sane parum integrum esse saepiusque corruptum; solatur tamen nos, quod non omnes huius operis partes pari modo interpolationibus affectae uidentur.

Iam ad hunc codicem, a quo initium cepit haec disputatio, paucis redeundum est. restant enim quaedam dicenda de correcturis et adnotamentis, quae in eo reperiuntur. ac primum inter notas marginales una maxime memorabilis de Atheniensibus est adscripta ad II 130 (p. 70, 18) manu prima exarata. maioris momenti sunt notae ad Manethonis uerba I 92 et 98 ita adscriptae, ut una cum Iosephi uerbis ex archetypo petita esse uideantur, de quibus supra (p. XX) dixi. alius sunt generis uariae lectiones, quae appositis litteris *γρ* aut in margine aut inter uersus extant I 157 (p. 29, 20), 159 (p. 30, 5), 222 (p. 30, 18), 292 (49, 19), II 174 (p. 78, 6) 273 (95, 23); neque enim una cum reliquis scriptae sed quamquam aequali manu exaratae sunt postea superadditae esse uidentur, tales uero sunt, ut coniectura potius inuentas quam ex alio exemplari sumptas esse existimem. denique in ipso textu correcturae inlatae sunt manu prima eius modi, ut librarii uitia corrigi appareat; quare eas ex codicis exemplari ductas esse censeo, uelut I, 28 (p. 7, 18) *ἐπιμιγ δεικνυμένων*, § 112 (p. 20, 4) *ὑπ᾽ ἐκείμενοσ*, § 213 (p. 38, 14) *ἀντιόχου*, quare dubito an eundem correctorem secutus I 157 non *Μύττυνος* sed *Μύττονος* edere debuerim; desunt tamen ne in hoc quidem genere coniecturae, ut II 25 (p. 57, 16) *κρυβῆναι*. ceterum omnia haec ut dixi pauca sunt. confirmatur igitur quod antea dixi (p. V not.), alium codicem ad Laurentianum emendandum non uideri adhibitum esse. postea recentior manus, quae margini quaedam inlusit, textum non attigit, ut codex genuino nitore etiam nunc splendeat.

§ 4.

De editionibus huius Iosephi operis pauca eis addam, quae in uoluminis I praefatione p. LXXIII dixi. editionem igitur principem Arlenianam, quae Basileae prodiit anno p. Chr. 1544, iam dixi ex Laurentiani apographo fortasse ex libro Schleusingensi manasse, quae omnium reliquarum editionum et principium est et fons. non pauca vero Hudsonus, cuius editio prodiit Oxoniae anno 1720, emendauit. qui Laurentiani scripturas ex Bigotii schedis habuit; quare cum Bigotianum (*Big.*) in notis appellat, cui interdum additur Florentinus (*Flor.*) quasi alius. praeterea Hafniensis codicis lectiones a Wandalino accepit. deinde Hauerkampus, ut solet, Hudsoni et textum et commentarios iterauit additis notis Coccei Spanhemii Relandi aliorum; praeterea habuit lectiones a Iohanne Grammio ex codice Hafniensi excerptas; ipse nihil attulit. Hauerkampo usi sunt posteri editores, praecipue L. Dindorf editionis Didotianae auctor et Immanuel Bekker, cui a Teubnero bibliopola Lipsiensi cura Iosephi edendi iniuncta erat [1]), quorum neuter nec codicem neque uersionem Latinam neque Eusebium ultra Hudsonum ad Iosephum emendandum adhibuit. postremo hos libros separatim cum commentariis J. G. Mülleri ediderunt C. Joh. Riggenbach et Conr. de Orelli Basileae 1877 [2]), qui textum secuti sunt fere Bekkerianum; prolegomena eius modi sunt, ut editorem uix aliorum libros recte legere posse intellegas, commentarii uero pueris potius quam uiris doctis accommodati repletique erroribus uix unum alterumue melioris iudicii documentum produnt. quare ego quidem miror Riggenbachium et Orellium, quos non puduerit talia edere [3]). at omnibus doctrinae et iudicii copiis egregie instructus erat Alfredus de Gutschmid, qui hos Iosephi libros scholis academicis explicare solebat. et spes erat eum editurum esse; nam apparatum criticum colligere et disponere coeperat; sed ad ipsum edendi munus non

1) *Flauii Iosephi opera, uol. VI Lipsiae 1856.*

2) *Des Flavius Iosephus Schrift gegen den Apion. Text und Erklärung, aus dem Nachlass von J. G. Müller herausgegeben von C. Joh. Riggenbach Prof. und Conr. von Orelli, Prof. Basel 1877.*

3) quod ut breuiter probem, duas sententias ex praefatione Mülleri hic repeto: p. 10 *Es finden sich Handschriften von Joseph in Wien, Paris, Leiden, Florenz, London, Oxford, Cambridge, in Polen.* et paullo infra: *Dagegen gibt der Codex Hafn. bei Haverkamp (eigentlich in der Laurentiana in Florenz) bloss die beiden Bücher contra Apionem.* ergone Hafniensem reuera Laurentianum esse putauit?

accessit; certe post mortem eius nihil repertum est, quod eo spectaret. inter ea autem quae reliquit imprimis scholarum academicarum commentarii mihi ab heredibus traditi sunt usque ad I 183 (p. 33, 21) perducti, rerum copia et iudicii subtilitate eximii, ex quibus excerpsi quae huic editioni apta erant; omnia enim recipere non e re uisum est, cum Gutschmidius commentarios confecerit antequam Laurentianum cognouisset.

Restat ut eis, qui de hoc uolumine bene meruerunt, gratias agam. imprimis nominandi sunt F. Vogt, Hieronymus Vitelli Florentinus, Castellani et Soranzo Veneti, qui Eusebii codices meum in usum contulerunt, nec minus C. Bruun Hafniensis, qui humanissimas mihi de codicibus Hafniensibus litteras misit; denique hic quoque Carolo Boysen meo debitas gratias reddo, qui in excutiendo Latino et in corrigendis plagulis typothetarum optima et indefessa opera me adiuuit.

§ 5.

Huius editionis consilium idem est ac uoluminum reliquorum. nam textui graeco subieci adnotationis loco quae codex Laurentianus ceteraque subsidia aliter exhibent. et Laurentiani quidem discrepantias praeter accentus et spiritus mutatos aut omissos aut *ῑ* adscriptum neglectum dedi omnes. etiam *ν ἐφελκυστικόν* ante consonas positum ex eo asciui, quod cum Eusebiani codices fere numquam admittant, id adnotatum non est, sicut alias quoque horum codicum quisquilias orthographicas fortuitosque librariorum errores reticui. ad latina (II 52—113) ex codicibus non adnotata sunt nisi grauiora; orthographiam eorum constitui ad fidem codicis Ambrosiani papyracei, de quo dixi in praef. uol. I p. XXVIII. saepius in lemmate ea textus uerba apposui, quorum loco alia traduntur, nec raro, sicut antea feci, ita nunc consentientes testes lemmati subiunxi. id mutaui quod singulis adnotationum paginis non ut in ceteris uoluminibus testium indicem praemisi, cum plerumque duo soli testes sint L et Latinus, sed eis solummodo paginis, ubi alii imprimis Eusebius accedunt.

Signis codicum aliisque scripturae compendiis usus sum hisce:

L = codex Laurentianus plut. 69 cod. 22.

Lat = uersio Latina, quae sola seruauit II 52—113, ubi in notis haec signa habes explicanda

C = codex Bodleianus Canonicianus n^{r} 148.

L = codex Laurentianus plutei LXVI cod. 2.
Cors. = codex Corsinianus n^ro^ 839.

Eus et *Euseb* = Eusebius in historia ecclesiastica (*hist. eccl.*) aut chronicis (*chron.*) aut praeparatione euangelica (*praep.*). chronica extant in uersione Armeniaca (*Arm.*) et in excerptis Crameri (*exc. gr.*) et apud Syncellum (*Sync.*). praeparationis eu. codices consului
B = Parisinum gr. n^ro^ 465.
G = Laurentianum plut. VI cod. 9 saec. fere XIV.
J = Venetum gr. n^ro^ 341 saeculi XV.

* asteriscus inter Iosephi uerba positus lacunam significat, unci [ ] spuria aut suspecta.
γρ in codice iunctim scriptum = *γράφεται*.
add. = addit addunt additum similia.
coni. coniecturas meas significat, nisi alius auctor nominatur.
corr. = correxit correctum correctura similia.
euan. = euanuit euanidum.
fort. = fortasse.
i. marg. = in margine.
litt. = littera litterae sim.
man. et *m.* = manus.
om. = omittit omittunt.
ras. = rasura, *eras.* = erasum.
rec. = recens recenti sim.
s. = suprascripsit suprascriptum sim.
suppl. si quid primo omissum deinde suppletum est.
tr. = transponit sim.
u. = uersus.
uid. = uidetur.
| finem uersus, ‖ finem paginae significat.
· in media litterarum uia positum litteram erasam, * litteram euanidam significat.

ADDENDA ET CORRIGENDA.

p. 3 ad titulum adnotandum est, etiam Origenem contra Celsum I p. 14 *περὶ τῆς τῶν Ἰουδαίων ἀρχαιότητος* inscribere hos libros.
λόγος α′ inscribitur iam in ed. pr.
„ 5, 19 in notis repone: tr. Eus praeter cod. J.
„ 6, 20 *ἀρχαιότητα* (*de antiquitate*) etiam Lat habuit.
„ 11 in notis repone: 28 *πολεμοῦντας* Gutschmid.
„ 13 in notis ad. u. 7 lege: §§ 228, 287, 288, 296, 300.
in notis ad. u. 10 lege: cf. § 228.
„ 15, 19 in notis repone: infra § 94 *Τέθμωσις*.
„ 22 ad u. 5 adnotandum erat: *ιζ′*] Theophil. Eus. Arm. Sync. etc; nam etiam Theophilus *ιζ′* habet.
u. 12 lege: *Astartiarum* Eus. Arm.; nam Latinus habet *astartae sacerdos*, quod cum editis consentit.
124 ad. u. 12 ascribendum erat et 12$\frac{3}{4}$ ad p. 23, 2.
„ 34 testium index (LLat Eusebius praep. euang. IX 5. 7) tollendus est.
„ 37, 7 repone *Ἰουδαῖος*.
§ 205 ad u. 7 adscribenda erat.
„ 57 ad u. 15 tolle notam ad *Σίναιον*; nam in Lat sine dubio *sineus* fuit; cod. Marcianus *syneus* habet; ceterorum uero scripturas ex *sineus* corruptas esse apparet; Canonicianus non *mens*, sed *sm̃s* habet.
„ 59, 18 *γενηθεὶς* conicio.
„ 63 uersui 30 errore ascriptum est 20.
„ 89, 9 in notis repone *τούτῳ* pro *τούτω*.
„ 91, 23 in notis: *fato constrictos* in Lat coniectura est Boyseni, *factos conscriptos* codd. Lat

FLAVII IOSEPHI

DE IVDAEORVM VETVSTATE

SIVE

CONTRA APIONEM

LIBRI II.

Φλαΐου Ἰωσήπου περὶ ἀρχαιότητος Ἰουδαίων λόγος α΄.

1. Ἱκανῶς μὲν ὑπολαμβάνω καὶ διὰ τῆς περὶ τὴν ἀρχαιολογίαν συγγραφῆς, κράτιστε ἀνδρῶν Ἐπαφρόδιτε, τοῖς ἐντευξομένοις αὐτῇ πεποιηκέναι φανερὸν περὶ τοῦ γένους ἡμῶν τῶν Ἰουδαίων, ὅτι καὶ παλαιότατόν ἐστι καὶ τὴν πρώτην ὑπόστασιν ἔσχεν ἰδίαν, καὶ πῶς τὴν χώραν ἣν νῦν ἔχομεν κατῴκησε * πεντακισχιλίων ἐτῶν ἀριθμὸν ἱστορίαν περιέχουσαν ἐκ τῶν παρ᾽ ἡμῖν ἱερῶν βίβλων διὰ τῆς Ἑλληνικῆς φωνῆς συνεγραψάμην. ἐπεὶ δὲ συχνοὺς ὁρῶ ταῖς ὑπὸ δυσμενείας ὑπό τινων εἰρημέναις προσέχοντας βλασφημίαις καὶ τοῖς περὶ τὴν ἀρχαιολογίαν ὑπ᾽ ἐμοῦ γεγραμμένοις ἀπιστοῦντας τεκμήριόν τε ποιουμένους τοῦ νεώτερον εἶναι τὸ γένος ἡμῶν τὸ μηδεμιᾶς παρὰ τοῖς ἐπιφανέσι τῶν Ἑλληνικῶν ἱστοριογράφων μνήμης ἠξιῶσθαι, περὶ τούτων ἁπάντων ᾠήθην δεῖν γράψαι συντόμως τῶν μὲν λοιδορούντων τὴν δυσμένειαν καὶ τὴν ἐκούσιον ἐλέγξαι ψευδολογίαν, τῶν δὲ τὴν ἄγνοιαν ἐπανορθώσασθαι, διδάξαι δὲ πάντας, ὅσοι τἀληθὲς εἰδέναι βούλονται, περὶ τῆς ἡμετέρας ἀρχαιότητος. χρήσομαι δὲ τῶν μὲν ὑπ᾽ ἐμοῦ λεγομένων μάρτυσι τοῖς ἀξιοπιστοτάτοις εἶναι περὶ πάσης ἀρχαιολογίας ὑπὸ τῶν Ἑλλήνων κεκριμένοις, τοὺς δὲ βλασφήμως περὶ ἡμῶν καὶ ψευδῶς γεγραφότας αὐτοὺς δι᾽ ἑαυτῶν ἐλεγχομένους παρέξω. πειράσομαι δὲ καὶ τὰς αἰτίας ἀποδοῦναι, δι᾽ ἃς οὐ πολλοὶ τοῦ ἔθνους ἡμῶν ἐν ταῖς ἱστορίαις Ἕλληνες ἐμνημονεύκασιν, ἔτι μέντοι καὶ τοὺς οὐ παραλιπόντας τὴν περὶ

Titulus a codd. Lat. abesse solet, in cod. Corsiniano inscriptum est: *incertae iosaphi contra apionem et molonem; περὶ τῆς Ἰουδαίων (τῶν Ἰουδαίων) ἀρχαιότητος* inscribit Eusebius hist. eccl. III 9, pr. euang. p. 361^{b}, 458^{bd}, 476^{d}; *πρὸς τοὺς Ἕλληνας* Porphyrius de abstin. IV 11 p. 245. 20 Nauck.

α΄] Gutschmid πρῶτος L πρότερος Bekker 4 ὑπόστασιν] *conscientiam* Lat 5 πεντακισχιλίων] *quinque milia enim* Lat ἣν πεντακισχιλίων ed. pr ἀριθμὸν om. ed. pr 12 γράψαι fort. spurium ante τῶν add. *et* Lat καὶ Bekker 14 διδάξαι δὲ] διδάξας Gutschmid

ἡμῶν ἱστορίαν ποιήσω φανερὸς τοῖς μὴ γιγνώσκουσιν ἢ προσποιουμένοις ἀγνοεῖν.

6 2. Πρῶτον οὖν ἐπέρχεταί μοι πάνυ θαυμάζειν τοὺς οἰομένους δεῖν περὶ τῶν παλαιοτάτων ἔργων μόνοις προσέχειν τοῖς Ἕλλησι καὶ παρὰ τούτων πυνθάνεσθαι τὴν ἀλήθειαν, ἡμῖν δὲ καὶ τοῖς ἄλλοις ἀνθρώποις ἀπιστεῖν· πᾶν γὰρ ἐγὼ τοὐναντίον ὁρῶ συμβεβηκός, εἴ γε δεῖ μὴ ταῖς ματαίαις δόξαις ἑπακολουθεῖν, ἀλλ' ἐξ
7 αὐτῶν τὸ δίκαιον τῶν πραγμάτων λαμβάνειν. τὰ μὲν γὰρ παρὰ τοῖς Ἕλλησιν ἅπαντα νέα καὶ χθὲς καὶ πρῴην, ὡς ἂν εἴποι τις, εὗροι γεγονότα, λέγω δὲ τὰς κτίσεις τῶν πόλεων καὶ τὰ περὶ τὰς ἐπινοίας τῶν τεχνῶν καὶ τὰ περὶ τὰς τῶν νόμων ἀναγραφάς· πάντων δὲ νεωτάτη σχεδόν ἐστι παρ' αὐτοῖς ἡ περὶ τὸ συγγράφειν
8 τὰς ἱστορίας ἐπιμέλεια. τὰ μέντοι παρ' Αἰγυπτίοις τε καὶ Χαλδαίοις καὶ Φοίνιξιν, ἐῶ γὰρ νῦν ἡμᾶς ἐκείνοις συγκαταλέγειν, αὐτοὶ δήπουθεν ὁμολογοῦσιν ἀρχαιοτάτην τε καὶ μονιμωτάτην ἔχειν τῆς
9 μνήμης τὴν παράδοσιν· καὶ γὰρ τόπους ἅπαντες οἰκοῦσιν ἥκιστα ταῖς ἐκ τοῦ περιέχοντος φθοραῖς ὑποκειμένους καὶ πολλὴν ἐποιήσαντο πρόνοιαν τοῦ μηδὲν ἄμνηστον τῶν παρ' αὐτοῖς πραττομένων παραλιπεῖν, ἀλλ' ἐν δημοσίαις ἀναγραφαῖς ὑπὸ τῶν σοφωτάτων
10 ἀεὶ καθιεροῦσθαι. τὸν δὲ περὶ τὴν Ἑλλάδα τόπον μυρίαι μὲν φθοραὶ κατέσχον ἐξαλείφουσαι τὴν μνήμην τῶν γεγονότων, ἀεὶ δὲ καινοὺς καθιστάμενοι βίους τοῦ παντὸς ἐνόμιζον ἄρχειν ἕκαστοι τῶν ἀφ' ἑαυτῶν, ὀψὲ δὲ καὶ μόλις ἔγνωσαν φύσιν γραμμάτων· οἱ γοῦν ἀρχαιοτάτην αὐτῶν τὴν χρῆσιν εἶναι θέλοντες παρὰ Φοινίκων
11 καὶ Κάδμου σεμνύνονται μαθεῖν. οὐ μὴν οὐδὲ ἀπ' ἐκείνου τοῦ χρόνου δύναιτό τις ἂν δεῖξαι σωζομένην ἀναγραφὴν οὔτ' ἐν ἱεροῖς οὔτ' ἐν δημοσίοις ἀναθήμασιν, ὅπου γε καὶ περὶ τῶν ἐπὶ Τροίαν τοσούτοις ἔτεσι στρατευσάντων ὕστερον πολλὴ γέγονεν ἀπορία τε καὶ ζήτησις, εἰ γράμμασιν ἐχρῶντο, καὶ τἀληθὲς ἐπικρατεῖ μᾶλλον περὶ τοῦ τὴν νῦν οὖσαν τῶν γραμμάτων χρῆσιν ἐκείνους ἀγνοεῖν.

LLatEusebius praep. euang. X 7.

1 *γίνωσκουσιν* (ut *γίνεσθαι* etc.) saepius ed. pr 3 *Πρῶτον*] abhinc exscripsit Euseb. praep. eu. X 7 4 *παλαιτάτων* Eus. cod. B 8 *γὰρ*] Eus. *γε* L *siquidem* Lat 9 *ἐχθὲσ, ἐ* eras. L 10 *εὗροι*] *cognoui* Lat *εὑρήσεις* Eusebius Vigeri 10 *δὲ*] Euseb. *δὴ* L *κτήσεισ* L¹ 12 *νεωτάτη σχεδὸν*] *σχεδὸν καὶ νεωτάτη* Eus. cod. B *τὸ*] coni. *τοῦ* LEus 15 *τε* om. Eus 19 *δημοσίοισ* Eusebii cod. G 22 *ἕκαστος* Eus fort. recte 23 *τῶν ἀφ' ἑαυτῶν*] *se* Lat *τὸ καθ' ἑαυτόν* coni *τῶν*] *τὸν* Eus. cod. J *ὑφ' ἑαυτὸν* Eus. cod. B *sciant quia* ante *ὀψὲ* add. Lat 25 *οὐδ'* Euseb *ἀπ'*] Euseb. *ἐπ'* LLat 27 *οὔτ' ἐπὶ δημοσίοις* Eus 28 *ὕστερον ἔτεσι στρατευσάντων* tr. Eus. Vigeri *τε* om. Eus

ὅλως δὲ παρὰ τοῖς Ἕλλησιν οὐδὲν ὁμολογούμενον εὑρίσκεται γράμμα 12
τῆς Ὁμήρου ποιήσεως πρεσβύτερον, οὗτος δὲ καὶ τῶν Τρωϊκῶν
ὕστερος φαίνεται γενόμενος, καί φασιν οὐδὲ τοῦτον ἐν γράμμασι
τὴν αὐτοῦ ποίησιν καταλιπεῖν, ἀλλὰ διαμνημονευομένην ἐκ τῶν
ἀσμάτων ὕστερον συντεθῆναι καὶ διὰ τοῦτο πολλὰς ἐν αὐτῇ σχεῖν
τὰς διαφωνίας. οἱ μέντοι τὰς ἱστορίας ἐπιχειρήσαντες συγγράφειν 13
παρ' αὐτοῖς, λέγω δὲ τοὺς περὶ Κάδμον τε τὸν Μιλήσιον καὶ τὸν
Ἀργεῖον Ἀκουσίλαον καὶ μετὰ τοῦτον εἴ τινες ἄλλοι λέγονται γενέ-
σθαι, βραχὺ τῆς Περσῶν ἐπὶ τὴν Ἑλλάδα στρατείας τῷ χρόνῳ
προύλαβον. ἀλλὰ μὴν καὶ τοὺς περὶ τῶν οὐρανίων τε καὶ θείων 14
πρώτους παρ' Ἕλλησι φιλοσοφήσαντας, οἷον Φερεκύδην τε τὸν
Σύριον καὶ Πυθαγόραν καὶ Θάλητα, πάντες συμφώνως ὁμολογοῦσιν
Αἰγυπτίων καὶ Χαλδαίων γενομένους μαθητὰς ὀλίγα συγγράψαι,
καὶ ταῦτα τοῖς Ἕλλησιν εἶναι δοκεῖ πάντων ἀρχαιότατα καὶ μόλις
αὐτὰ πιστεύουσιν ὑπ' ἐκείνων γεγράφθαι.

3. Πῶς οὖν οὐκ ἔστιν ἄλογον τετυφῶσθαι τοὺς Ἕλληνας ὡς 15
μόνους ἐπισταμένους τἀρχαῖα καὶ τὴν ἀλήθειαν περὶ αὐτῶν ἀκρι-
βῶς παραδιδόντας; ἢ τίς οὐ παρ' αὐτῶν ἂν τῶν συγγραφέων
μάθοι ῥᾳδίως, ὅτι μηδὲν βεβαίως εἰδότες συνέγραφον, ἀλλ' ὡς ἕκα-
στοι περὶ τῶν πραγμάτων εἴκαζον; τὸ πλεῖον γοῦν διὰ τῶν βιβλίων
ἀλλήλους ἐλέγχουσι καὶ τἀναντιώτατα περὶ τῶν αὐτῶν λέγειν οὐκ
ὀκνοῦσι. περίεργος δ' ἂν εἴην ἐγὼ τοὺς ἐμοῦ μᾶλλον ἐπισταμέ- 16
νους διδάσκων ὅσα μὲν Ἑλλάνικος Ἀκουσιλάῳ περὶ τῶν γενεαλογιῶν
διαπεφώνηκεν, ὅσα δὲ διορθοῦται τὸν Ἡσίοδον Ἀκουσίλαος, ἢ τίνα
τρόπον Ἔφορος μὲν Ἑλλάνικον ἐν τοῖς πλείστοις ψευδόμενον ἐπι-
δείκνυσιν, Ἔφορον δὲ Τίμαιος καὶ Τίμαιον οἱ μετ' ἐκεῖνον γεγονό-
τες, Ἡρόδοτον δὲ πάντες. ἀλλ' οὐδὲ περὶ τῶν Σικελικῶν τοῖς περὶ 17
Ἀντίοχον καὶ Φίλιστον ἢ Καλλίαν Τίμαιος συμφωνεῖν ἠξίωσεν,
οὐδ' αὖ περὶ τῶν Ἀττικῶν οἱ τὰς Ἀτθίδας συγγεγραφότες ἢ περὶ
τῶν Ἀργολικῶν οἱ τὰ περὶ Ἄργος ἱστοροῦντες ἀλλήλοις κατηκολου-

---

LLatEusebius praep. euang. X 7, 8.

3 ὕστερον L 5 ἀσμάτων] γραμμάτων Euseb ἐπὶ τὴν Ἑλλάδα] *apud helladium* Lat 10 προέλαβον L et Eusebii codd. GJ 11 τε om. Eusebii cod. B 12 *syrum* Lat *thalitem* Lat 14 δοκεῖ] Eus Lat δοκεῖν L 17 τὰ ἀρχαῖα L αὐτῶν L 18 παρ' αὐτῶν ἂν τῶν] παρὰ τῶν αὐτῶν Eus 19 μηδὲν] *neque* Lat μηδὲ ἓν Euseb εἰδότες βεβαίως tr. Eus paeter cod. J 20 εἴκαζον; τὸ πλεῖον] Gutschmid εἰκάζοιντο πλεῖον L εἴκαζον πλέον Euseb τὸ πλεῖον om. Lat γοῦν] οὖν Eusebii cod. G 21 τὰ ἐναντιώτατα L 24 Ἡσίοδον] *isidiotum* Lat 27 Σικελικῶν] σικελῶν LLat (*singulis* codd. Lat) 29 οὐδ' ex ὁδ' corr. m. 2 L 30 ἠκολουθήκασι Euseb

18 *θήκασι. καὶ τί δεῖ λέγειν περὶ τῶν κατὰ πόλεις καὶ βραχυτέρων; ὅπου γε περὶ τῆς Περσικῆς στρατείας καὶ τῶν ἐν αὐτῇ πραχθέντων οἱ δοκιμώτατοι διαπεφωνήκασι, πολλὰ δὲ καὶ Θουκυδίδης ὡς ψευδόμενος ὑπό τινων κατηγορεῖται καίτοι δοκῶν ἀκριβεστάτην τὴν καθ' αὑτὸν ἱστορίαν συγγράφειν.*

19 4. *Αἰτίαι δὲ τῆς τοιαύτης διαφωνίας πολλαὶ μὲν ἴσως ἂν καὶ ἕτεραι τοῖς βουλομένοις ζητεῖν ἂν φανεῖεν, ἐγὼ δὲ δυσὶ ταῖς λεχθησομέναις τὴν μεγίστην ἰσχὺν ἀνατίθημι, καὶ προτέραν ἐρῶ*
20 *τὴν κυριωτέραν εἶναί μοι δοκοῦσαν· τὸ γὰρ ἐξ ἀρχῆς μὴ σπουδασθῆναι παρὰ τοῖς Ἕλλησι δημοσίας γίνεσθαι περὶ τῶν ἑκάστοτε πραττομένων ἀναγραφὰς τοῦτο μάλιστα δὴ καὶ τὴν πλάνην καὶ τὴν ἐξουσίαν τοῦ ψεύδεσθαι τοῖς μετὰ ταῦτα βουληθεῖσι περὶ τῶν*
21 *παλαιῶν τι γράφειν παρέσχεν. οὐ γὰρ μόνον παρὰ τοῖς ἄλλοις Ἕλλησιν ἠμελήθη τὰ περὶ τὰς ἀναγραφάς, ἀλλ' οὐδὲ παρὰ τοῖς Ἀθηναίοις, οὓς αὐτόχθονας εἶναι λέγουσιν καὶ παιδείας ἐπιμελεῖς,*
οὐδὲν τοιοῦτον εὑρίσκεται γενόμενον, ἀλλὰ τῶν δημοσίων γραμμάτων ἀρχαιοτάτους εἶναί φασι τοὺς ὑπὸ Δράκοντος αὐτοῖς περὶ τῶν φονικῶν γραφέντας νόμους ὀλίγῳ πρότερον τῆς Πεισιστράτου τυραν-
22 *νίδος ἀνθρώπου γεγονότος. περὶ μὲν γὰρ Ἀρκάδων τί δεῖ λέγειν αὐχούντων ἀρχαιότητα; μόλις γὰρ οὗτοι καὶ μετὰ ταῦτα γράμμασιν ἐπαιδεύθησαν.*

23 5. *Ἅτε δὴ τοίνυν οὐδεμιᾶς προκαταβεβλημένης ἀναγραφῆς, ἣ καὶ τοὺς μαθεῖν βουλομένους διδάξειν ἔμελλεν καὶ τοὺς ψευδομένους ἐλέγξειν, ἡ πολλὴ πρὸς ἀλλήλους ἐγένετο διαφωνία τοῖς συγ-*
24 *γραφεῦσι. δευτέραν δὲ πρὸς ταύτῃ θετέον ἐκείνην αἰτίαν· οἱ γὰρ ἐπὶ τὸ γράφειν ὁρμήσαντες οὐ περὶ τὴν ἀλήθειαν ἐσπούδασαν, καίτοι τοῦτο πρόχειρόν ἐστιν ἀεὶ τὸ ἐπάγγελμα, λόγων δὲ δύναμιν*

LLatEusebius praep. euang. X 7, 14.

2 *γε*] Euseb., om. L *τῆς Περσικῆς*] Euseb Lat *τῆσ περιοικήσεωσ τῆσ περσικῆσ* L 4 *κατηγόρηται* Eusebii codd. GJ *τὴν*] Gutschmid, om. LLat Euseb 5 *ἑαυτὸν* Euseb 6 *τοσαύτησ* L *huius* Lat 7 *ἂν φανεῖεν*] coni. *ἀναφανεῖεν* LEus *apparebunt* Lat 8 *λεχθησομέναις*] *ἐκτεθησομέναις αἰτίαις* Euseb *ἐρῶ*] *γε ἐρῶ* Eusebius Vigeri 9 *ἐξ ἀρχῆς*] *ἐξετασθῆναι* Eus 10 *δημοσίας*] *publicas* Lat *δημοσίᾳ* Eus fort. recte *περὶ*] *τὰς περὶ* Eus fort. recte 11 *πραττομένων*] *γενομένων* Eusebii cod. G 14 *παρὰ τοῖς*] *παρ' αὐτοῖς* Euseb Lat 15 *παιδείας*] Euseb. *παῖδασ* L *disciplinae* Lat 17 *περὶ τῶν φονικῶν*] *ex phoenicibus* Lat 18 *φονικῶν*] ed. pr. *φοινίκων* LLat *φοινικῶν* ut uid. Eus 19 *δεῖ*] ed. pr. *δὴ* L *χρὴ* Euseb. *oportet* Lat 20 *ἀρχαιότητα*] Eus. *ἀρχαιότατα* L 22 *προβεβλημένης* Euseb. *proponeretur* Lat 25 *ταύτῃ*] Euseb. *ταύτην* L *ἐκείνην*] *ἐκείνην τὴν* Eusebii codd. quidam 27 *ἐστιν*] *αὐτοῖς ἐστιν* Eus

ἐπεδείκνυντο, καὶ καθ' ὅντινα τρόπον ἐν τούτῳ παρευδοκιμήσειν 25
τοὺς ἄλλους ὑπελάμβανον, κατὰ τοῦτον ἡρμόζοντο τινὲς μὲν ἐπὶ
τὸ μυθολογεῖν τραπόμενοι, τινὲς δὲ πρὸς χάριν ἢ τὰς πόλεις ἢ
τοὺς βασιλέας ἐπαινοῦντες· ἄλλοι δὲ ἐπὶ τὸ κατηγορεῖν τῶν πρά-
ξεων ἢ τῶν γεγραφότων ἐχώρησαν ἐνευδοκιμήσειν τούτῳ νομίζοντες.
ὅλως δὲ τὸ πάντων ἐναντιώτατον ἱστορίᾳ πράττοντες διατελοῦσι· 26
τῆς μὲν γὰρ ἀληθοῦς ἐστι τεκμήριον ἱστορίας, εἰ περὶ τῶν αὐτῶν
ἅπαντες ταὐτὰ καὶ λέγοιεν καὶ γράφοιεν. οἱ δ' εἰ ταῦτα γράψειαν
ἑτέρως, οὕτως ἐνόμιζον αὐτοὶ φανεῖσθαι πάντων ἀληθέστατοι.
λόγων μὲν οὖν ἕνεκα καὶ τῆς ἐν τούτοις δεινότητος δεῖ παραχω- 27
ρεῖν ἡμᾶς τοῖς συγγραφεῦσι τοῖς Ἑλληνικοῖς, οὐ μὴν καὶ τῆς περὶ
τῶν ἀρχαίων ἀληθοῦς ἱστορίας καὶ μάλιστά γε τῆς περὶ τῶν ἑκά-
στοις ἐπιχωρίων.

6. Ὅτι μὲν οὖν παρ' Αἰγυπτίοις τε καὶ Βαβυλωνίοις ἐκ μα- 28
κροτάτων ἄνωθεν χρόνων τὴν περὶ τὰς ἀναγραφὰς ἐπιμέλειαν ὅπου
μὲν οἱ ἱερεῖς ἦσαν ἐγκεχειρισμένοι καὶ περὶ ταύτας ἐφιλοσόφουν,
Χαλδαῖοι δὲ παρὰ τοῖς Βαβυλωνίοις, καὶ ὅτι μάλιστα δὴ τῶν
Ἑλλησιν ἐπιμιγνυμένων ἐχρήσαντο Φοίνικες γράμμασιν εἴς τε τὰς
περὶ τὸν βίον οἰκονομίας καὶ πρὸς τὴν τῶν κοινῶν ἔργων παρά-
δοσιν, ἐπειδὴ συγχωροῦσιν ἅπαντες, ἐάσειν μοι δοκῶ. περὶ δὲ τῶν 29
ἡμετέρων προγόνων ὅτι τὴν αὐτήν, ἐῶ γὰρ λέγειν εἰ καὶ πλείω
τῶν εἰρημένων ἐποιήσαντο περὶ τὰς ἀναγραφὰς ἐπιμέλειαν τοῖς
ἀρχιερεῦσι καὶ τοῖς προφήταις τοῦτο προστάξαντες, καὶ ὡς μέχρι
τῶν καθ' ἡμᾶς χρόνων πεφύλακται μετὰ πολλῆς ἀκριβείας, εἰ δὲ
δεῖ θρασύτερον εἰπεῖν καὶ φυλαχθήσεται, πειράσομαι συντόμως
διδάσκειν.

7. Οὐ γὰρ μόνον ἐξ ἀρχῆς ἐπὶ τούτων τοὺς ἀρίστους καὶ τῇ 30
θεραπείᾳ τοῦ θεοῦ προσεδρεύοντας κατέστησαν, ἀλλ' ὅπως τὸ γένος
τῶν ἱερέων ἄμικτον καὶ καθαρὸν διαμενεῖ προυνόησαν. δεῖ γὰρ 31
τὸν μετέχοντα τῆς ἱερωσύνης ἐξ ὁμοεθνοῦς γυναικὸς παιδοποιεῖ-
σθαι καὶ μὴ πρὸς χρήματα μηδὲ τὰς ἄλλας ἀποβλέπειν τιμάς,

LLatEusebius praep. euang. X 7. 18.

3 *τρεπόμενοι* LEus cod. B 4 *τὸ*] *τῷ* Eus. cod. B 5 *εὐδοκιμήσειν ἐν* tr. Eus 7 *ἐστι — ἱστορίας*] *ἱστορίας τεκμήριον* Eusebii cod. B 8 *τὰ αὐτὰ* Euseb *δὲ* Euseb *εἰ — 9 ἑτέρως*] *εἰ μὴ τὰ αὐτὰ γράψειαν* (*γράψειεν* codd. BG) *ἑτέροις* Eus *cum quaedam aliter conscriberent quam alii* Lat *ταῦτα*] *ταὐτὰ* Hudson 9 *φαίνεσθαι* Euseb *ἀληθέστατοι*] fin. Euseb 18 *ἐπιδεικνυμένων* L 24 *εἰ δὲ δεῖ*] Gutschmid *si oportet* Lat *εἰ δὲ* L 27 *ἐπὶ τούτῳ* coni. 29 *διαμενεῖ*] coni. ex Lat *διαμένειν* L *διαμένη* ed. pr. 30 *τὸν μετέχοντα*] *qui — habiturus est* Lat *παιδοποιεῖσθαι*] *nasci* Lat

ἀλλὰ τὸ γένος ἐξετάζειν ἐκ τῶν ἀρχαίων λαμβάνοντα τὴν διαδοχὴν
32 καὶ πολλοὺς παρεχόμενον μάρτυρας. καὶ ταῦτα πράττομεν οὐ μόνον
ἐπ᾽ αὐτῆς Ἰουδαίας, ἀλλ᾽ ὅπου ποτὲ σύστημα τοῦ γένους ἐστὶν
ἡμῶν κἀκεῖ τὸ ἀκριβὲς ἀποσώζεται τοῖς ἱερεῦσι περὶ τοὺς γάμους·
33 λέγω δὲ τοὺς ἐν Αἰγύπτῳ καὶ Βαβυλῶνι καὶ εἴ που τῆς ἄλλης οἰκου- 5
μένης τοῦ γένους τῶν ἱερέων εἰσί τινες διεσπαρμένοι· πέμπουσι
γὰρ εἰς Ἱεροσόλυμα συγγράψαντες πατρόθεν τοὔνομα τῆς τε γαμετῆς
34 καὶ τῶν ἐπάνω προγόνων καὶ τίνες οἱ μαρτυροῦντες. πόλεμος δ᾽
εἰ κατάσχοι, καθάπερ ἤδη γέγονεν πολλάκις Ἀντιόχου τε τοῦ Ἐπι-
φανοῦς εἰς τὴν χώραν ἐμβαλόντος καὶ Πομπηίου Μάγνου καὶ Κυν- 10
35 τιλίου Οὐάρου μάλιστα δὲ καὶ ἐν τοῖς καθ᾽ ἡμᾶς χρόνοις, οἱ περι-
λειπόμενοι τῶν ἱερέων καινὰ πάλιν ἐκ τῶν ἀρχαίων γραμμάτων
συνίστανται καὶ δοκιμάζουσι τὰς ὑπολειφθείσας γυναῖκας. οὐ γὰρ
ἐπὶ τὰς αἰχμαλώτους γενομένας προσίενται πολλάκις γεγονυιῶν
36 αὐταῖς τὴν πρὸς ἀλλόφυλον κοινωνίαν ὑφορώμενοι. τεκμήριον δὲ 15
μέγιστον τῆς ἀκριβείας· οἱ γὰρ ἀρχιερεῖς οἱ παρ᾽ ἡμῖν ἀπὸ δισχι-
λίων ἐτῶν ὀνομαστοὶ παῖδες ἐκ πατρὸς εἰσὶν ἐν ταῖς ἀναγραφαῖς.
τοῖς δὲ τῶν εἰρημένων ὁτιοῦν γένοιτο εἰς παράβασιν ἀπηγόρευται
μήτε τοῖς βωμοῖς παρίστασθαι μήτε μετέχειν τῆς ἄλλης ἁγιστείας.
37 εἰκότως οὖν, μᾶλλον δὲ ἀναγκαίως, ἅτε μήτε τὸ ὑπογράφειν αὐτε- 20
ξουσίου πᾶσιν ὄντος μήτε τινὸς ἐν τοῖς γραφομένοις ἐνούσης δια-
φωνίας, ἀλλὰ μόνον τῶν προφητῶν τὰ μὲν ἀνωτάτω καὶ παλαιό-
τατα κατὰ τὴν ἐπίπνοιαν τὴν ἀπὸ τοῦ θεοῦ μαθόντων, τὰ δὲ καθ᾽
38 αὑτοὺς ὡς ἐγένετο σαφῶς συγγραφόντων, (8) οὐ μυριάδες βιβλίων
εἰσὶ παρ᾽ ἡμῖν ἀσυμφώνων καὶ μαχομένων, δύο δὲ μόνα πρὸς τοῖς 25
εἴκοσι βιβλία τοῦ παντὸς ἔχοντα χρόνου τὴν ἀναγραφήν, τὰ δικαίως
39 πεπιστευμένα. καὶ τούτων πέντε μέν ἐστι Μωυσέως, ἃ τούς τε

LLatEusebius hist. eccles. III 10.

1 ἀλλὰ — 2 μάρτυρας] *et de hoc per antiquam lineam et multis testibus approbare* Lat ἀρχείων Gutschmid λαμβάνοντα] ed. pr. λαμβάνοντας L λαμβάνον Lowthius 2 παρασχόμενον ed. pr. 5 *babylonia* Lat 7 τῆς τε γαμετῆς] coni. ex *nuptae* Lat τῆσ γεγραμμένησ L τῶν γειναμένων ed. pr. 10 *quintillus* Lat 12 ἀρχείων γράμματα Gutschmid 14 ἐπὶ] LLat ἔτι ed. pr. *προσίενται*] *accedunt* Lat πολλάκις — 15 αὐταῖς om. Lat γεγονυῖαν ed. pr. 18 τοῖς] οἷς Dindorf τοῖς — παράβασιν] *his autem qui praedicti sunt si quid praeuaricentur* Lat γένοιτο εἰς παράβασιν] παραβᾶσιν coni. 19 ἁγιστείας] ed. pr. ἁγιαστίας L 20 τὸ ὑπογράφειν] *conscribendi* Lat τοῦ ὑπογράφειν ed. pr. τοῦ γράφειν uel τοῦ συγγράφειν coni. 22 μόνων ed. pr. 24 οὐ] incip. Eusebius οὖν post μυριάδες add. Euseb 24 εἰσὶ βιβλίων tr. Eusebii codd. AH 27 θεῖα ante πεπιστευμένα add. Euseb Μωυσέως] τὰ Μωυσέως Euseb τε νόμους] Euseb γενομένουσ L *natiuitates* Lat

νόμους περιέχει καὶ τὴν ἀπ᾽ ἀνθρωπογονίας παράδοσιν μέχρι τῆς αὐτοῦ τελευτῆς· οὗτος ὁ χρόνος ἀπολείπει τρισχιλίων ὀλίγῳ ἐτῶν. ἀπὸ δὲ τῆς Μωυσέως τελευτῆς μέχρι τῆς Ἀρταξέρξου τοῦ μετὰ 40
Ξέρξην Περσῶν βασιλέως οἱ μετὰ Μωυσῆν προφῆται τὰ κατ᾽ αὐ-
τοὺς πραχθέντα συνέγραψαν ἐν τρισὶ καὶ δέκα βιβλίοις· αἱ δὲ λοιπαὶ τέσσαρες ὕμνους εἰς τὸν θεὸν καὶ τοῖς ἀνθρώποις ὑποθή-
κας τοῦ βίου περιέχουσιν. ἀπὸ δὲ Ἀρταξέρξου μέχρι τοῦ καθ᾽ 41
ἡμᾶς χρόνου γέγραπται μὲν ἕκαστα, πίστεως δ᾽ οὐχ ὁμοίας ἠξίωται τοῖς πρὸ αὐτῶν διὰ τὸ μὴ γενέσθαι τὴν τῶν προφητῶν ἀκριβῆ
διαδοχήν. δῆλον δ᾽ ἐστὶν ἔργῳ, πῶς ἡμεῖς πρόσιμεν τοῖς ἰδίοις 42
γράμμασι· τοσούτου γὰρ αἰῶνος ἤδη παρῳχηκότος οὔτε προσθεῖναί τις οὐδὲν οὔτε ἀφελεῖν αὐτῶν οὔτε μεταθεῖναι τετόλμηκεν, πᾶσι δὲ σύμφυτόν ἐστιν εὐθὺς ἐκ πρώτης γενέσεως Ἰουδαίοις τὸ νομίζειν αὐτὰ θεοῦ δόγματα καὶ τούτοις ἐμμένειν καὶ ὑπὲρ αὐτῶν, εἰ δέοι,
θνήσκειν ἡδέως. ἤδη οὖν πολλοὶ πολλάκις ἑώρανται τῶν αἰχμα- 43
λώτων στρέβλας καὶ παντοίων θανάτων τρόπους ἐν θεάτροις ὑπομέ-
νοντες ἐπὶ τῷ μηδὲν ῥῆμα προέσθαι παρὰ τοὺς νόμους καὶ τὰς μετὰ τούτων ἀναγραφάς. ὅ τίς ἂν ὑπομείνειεν Ἑλλήνων ὑπὲρ αὐτοῦ; ἀλλ᾽ 44
οὐδ᾽ ὑπὲρ τοῦ καὶ πάντα τὰ παρ᾽ αὐτοῖς ἀφανισθῆναι συγγράμματα
τὴν τυχοῦσαν ὑποστήσεται βλάβην· λόγους γὰρ αὐτὰ νομίζουσιν εἶναι 45
κατὰ τὴν τῶν γραψάντων βούλησιν ἐσχεδιασμένους, καὶ τοῦτο δι-
καίως καὶ περὶ τῶν παλαιοτέρων φρονοῦσιν, ἐπειδὴ καὶ τῶν νῦν ἐνίους ὁρῶσι τολμῶντας περὶ τούτων συγγράφειν, οἷς μήτ᾽ αὐτοὶ παρεγένοντο μήτε πυθέσθαι παρὰ τῶν εἰδότων ἐφιλοτιμήθησαν.
ἀμέλει καὶ περὶ τοῦ γενομένου νῦν ἡμῖν πολέμου τινὲς ἱστορίας 46
ἐπιγράψαντες ἐξενηνόχασιν οὔτ᾽ εἰς τοὺς τόπους παραβαλόντες οὔτε πλησίον τούτων πραττομένων προσελθόντες, ἀλλ᾽ ἐκ παρακουσμάτων ὀλίγα συνθέντες τῷ τῆς ἱστορίας ὀνόματι λίαν ἀναιδῶς ἐνεπαροίνησαν.

9. Ἐγὼ δὲ καὶ περὶ τοῦ πολέμου παντὸς καὶ περὶ τῶν αὐτῷ 47

LLatEusebius hist. eccles. III 10.

1 ἀπ᾽] τῆς Euseb et ut uid. Lat 2 ὀλίγον Eusebii codd. ADEH, fort. recte 3 μέχρι τῆς Ἀρταξέρξου] *usque ad artaxerxem* Lat μέχρι τῆς] μέχρις Gutschmid 4 ἀρχῆς post βασιλέως add. ed. pr. 10 πρόσιμεν τοῖς ἰδίοις γράμμασι] Eus τοῖσ ἰδίοισ γράμμασι πεπιστεύκαμεν LLat 12 οὐδὲν — αὐτῶν om. Eus 13 ἐκ] ἐκ τῆσ L τὸ νομίζειν] Eus ὀνομάζειν LLat 14 ἐπιμένειν Eus ὑπὲρ] Eus περὶ L 15 ἡδέως fin. Euseb 17 τῷ] τὸ L¹ πρόεσθαι L 18 ὅ — αὐτοῦ] *qui graecorum aliquid tale perpessus est* Lat ὅ τίς] ed. pr. ὅστισ L ὑπομείνειεν] ed. pr. ὑπομένειεν L 24 πυθέσθαι] *credere* Lat 30 αὐτῷ] *ibi* Lat ἐν αὐτῷ ed. pr., fort. spurium

κατὰ μέρος γενομένων ἀληθῆ τὴν ἀναγραφὴν ἐποιησάμην τοῖς πράγ-
48 μασιν αὐτὸς ἅπασι παρατυχών· ἐστρατήγουν μὲν γὰρ τῶν παρ' ἡμῖν Γαλιλαίων ὀνομαζομένων ἕως ἀντέχειν δυνατὸν ἦν, ἐγενόμην δὲ παρὰ Ῥωμαίοις συλληφθεὶς αἰχμάλωτος καί με διὰ φυλακῆς Οὐεσπασιανὸς καὶ Τίτος ἔχοντες ἀεὶ προσεδρεύειν αὐτοῖς ἠνάγκα- 5
σαν τὸ μὲν πρῶτον δεδεμένον, αὖθις δὲ λυθεὶς συνεπέμφθην ἀπὸ
49 τῆς Ἀλεξανδρείας Τίτῳ πρὸς τὴν Ἱεροσολύμων πολιορκίαν. ἐν ᾧ χρόνῳ γενομένην τῶν πραττομένων οὐκ ἔστιν ὃ τὴν ἐμὴν γνῶσιν διέφυγεν· καὶ γὰρ τὰ κατὰ τὸ στρατόπεδον τὸ Ῥωμαίων ὁρῶν ἐπιμελῶς ἀνέγραφον καὶ τὰ παρὰ τῶν αὐτομόλων ἀπαγγελλόμενα μόνος 10
50 αὐτὸς συνίειν. εἶτα σχολῆς ἐν τῇ Ῥώμῃ λαβόμενος, πάσης μοι τῆς πραγματείας ἐν παρασκευῇ γεγενημένης χρησάμενός τισι πρὸς τὴν Ἑλληνίδα φωνὴν συνεργοῖς οὕτως ἐποιησάμην τῶν πράξεων τὴν παράδοσιν. τοσοῦτον δέ μοι περιῆν θάρσος τῆς ἀληθείας, ὥστε πρώτους πάντων τοὺς αὐτοκράτορας τοῦ πολέμου γενομένους Οὐε- 15
51 σπασιανὸν καὶ Τίτον ἠξίωσα λαβεῖν μάρτυρας. πρώτοις γὰρ δέδωκα τὰ βιβλία καὶ μετ' ἐκείνους πολλοῖς μὲν Ῥωμαίων τοῖς συμπεπολεμηκόσι, πολλοῖς δὲ τῶν ἡμετέρων ἐπίπρασκον, ἀνδράσι καὶ τῆς Ἑλληνικῆς σοφίας μετεσχηκόσιν, ὧν ἐστιν Ἰούλιος Ἀρχέλαος, Ἡρώδης ὁ σεμνότατος, αὐτὸς ὁ θαυμασιώτατος βασιλεὺς Ἀγρίππας. 20
52 οὗτοι μὲν οὖν ἅπαντες ἐμαρτύρησαν, ὅτι τῆς ἀληθείας προύστην ἐπιμελῶς, οὐκ ἂν ὑποστειλάμενοι καὶ σιωπήσαντες, εἴ τι κατ' ἄγνοιαν ἢ χαριζόμενος μετέθηκα τῶν γεγονότων ἢ παρέλιπον.

53 10. Φαῦλοι δέ τινες ἄνθρωποι διαβάλλειν μου τὴν ἱστορίαν ἐπικεχειρήκασιν ὥσπερ ἐν σχολῇ μειρακίων γύμνασμα προκεῖσθαι 25
νομίζοντες κατηγορίας παραδόξου καὶ διαβολῆς, δέον ἐκεῖνο γιγνώσκειν, ὅτι δεῖ τὸν ἄλλοις παράδοσιν πράξεων ἀληθινῶν ὑπισχνούμενον αὐτὸν ἐπίστασθαι ταύτας πρότερον ἀκριβῶς ἢ παρηκολου-
54 θηκότα τοῖς γεγονόσιν ἢ παρὰ τῶν εἰδότων πυνθανόμενον. ὅπερ ἐγὼ μάλιστα περὶ ἀμφοτέρας νομίζω πεποιηκέναι τὰς πραγματείας· 30
τὴν μὲν γὰρ ἀρχαιολογίαν, ὥσπερ ἔφην, ἐκ τῶν ἱερῶν γραμμάτων μεθερμήνευκα γεγονὼς ἱερεὺς ἐκ γένους καὶ μετεσχηκὼς τῆς φιλο-
55 σοφίας τῆς ἐν ἐκείνοις τοῖς γράμμασι· τοῦ δὲ πολέμου τὴν ἱστορίαν ἔγραψα πολλῶν μὲν αὐτουργὸς πράξεων, πλείστων δ' αὐτόπτης γενόμενος, ὅλως δὲ τῶν λεχθέντων ἢ πραχθέντων οὐδοτιοῦν ἀγνοή- 35

---

8 *γενομένην*] *γενομένων* ed. pr., om. Lat, seclusit Hudson 16 *ἔδωκα* coni 20 *αὐτὸς*] *et ipse* Lat, unde *καὶ αὐτὸς* Hudson 22 *εἴ*] ed. pr. *ἢ* L *si* Lat 32 *μεθηρμήνευκα* ed. Oberthür 33 *τῆς*] *τοῖσ* L¹ 35 *οὐδ' ὅτι οὖν* L, similiterque saepius

σας. πῶς οὖν οὐκ ἂν θρασεῖς τις ἡγήσαιτο τοὺς ἀνταγωνίζεσθαί 56
μοι περὶ τῆς ἀληθείας ἐπικεχειρηκότας, οἳ κἂν τοῖς τῶν αὐτοκρατόρων ὑπομνήμασιν ἐντυχεῖν λέγωσιν, ἀλλ᾽ οὔ γε καὶ τοῖς ἡμετέροις τῶν ἀντιπολεμούντων πράγμασι παρέτυχον.

11. Περὶ μὲν οὖν τούτων ἀναγκαίαν ἐποιησάμην τὴν παρέκ- 57
βασιν ἐπισημήνασθαι βουλόμενος τῶν ἐπαγγελλομένων τὰς ἱστορίας συγγράφειν τὴν εὐχέρειαν. ἱκανῶς δὲ φανερόν, ὡς οἶμαι, πεποιη- 58
κὼς ὅτι πάτριός ἐστιν ἡ περὶ τῶν παλαιῶν ἀναγραφὴ τοῖς βαρβάροις μᾶλλον ἢ τοῖς Ἕλλησι, βούλομαι μικρὰ πρότερον διαλεχθῆναι πρὸς τοὺς ἐπιχειροῦντας νέαν ἡμῶν ἀποφαίνειν τὴν κατάστασιν ἐκ τοῦ μηδὲν περὶ ἡμῶν, ὡς φασιν ἐκεῖνοι, λελέχθαι παρὰ τοῖς Ἑλληνικοῖς συγγραφεῦσιν. εἶτα δὲ τὰς μαρτυρίας τῆς ἀρχαιότη- 59
τος ἐκ τῶν παρ᾽ ἄλλοις γραμμάτων παρέξω καὶ τοὺς βεβλασφημηκότας ἡμῶν τὸ γένος ἀποδείξω λίαν ἐν τοῖς λόγοις βλασφημοῦντας.

12. Ἡμεῖς τοίνυν οὔτε χώραν οἰκοῦμεν παράλιον οὔτ᾽ ἐμπο- 60
ρίαις χαίρομεν οὐδὲ ταῖς πρὸς ἄλλους διὰ τούτων ἐπιμιξίαις, ἀλλ᾽ εἰσὶ μὲν ἡμῶν αἱ πόλεις μακρὰν ἀπὸ θαλάσσης ἀνῳκισμέναι, χώραν δὲ ἀγαθὴν νεμόμενοι ταύτην ἐκπονοῦμεν μάλιστα δὴ πάντων περὶ παιδοτροφίαν φιλοκαλοῦντες καὶ τὸ φυλάττειν τοὺς νόμους καὶ τὴν κατὰ τούτους παραδεδομένην εὐσέβειαν ἔργον ἀναγκαιότατον παντὸς τοῦ βίου πεποιημένοι. προσούσης τοίνυν τοῖς εἰρημένοις καὶ 61
τῆς περὶ τὸν βίον ἡμῶν ἰδιότητος οὐδὲν ἐν τοῖς παλαιοῖς χρόνοις ποιοῦν ἡμῖν πρὸς τοὺς Ἕλληνας ἐπιμιξίαν, ὥσπερ Αἰγυπτίοις μὲν τὰ παρ᾽ αὐτῶν ἐξαγόμενα καὶ πρὸς αὐτοὺς εἰσαγόμενα, τοῖς δὲ τὴν παράλιον τῆς Φοινίκης κατοικοῦσιν ἡ περὶ τὰς καπηλείας καὶ περὶ τὰς ἐμπορίας σπουδὴ διὰ τὸ φιλοχρηματεῖν. οὐ μὴν οὐδὲ πρὸς 62
ληστείας, ὥσπερ ἄλλοι τινές, ἢ τὸ πλέον ἔχειν ἀξιοῦν πολεμοῦντες ἐτράπησαν ἡμῶν οἱ πατέρες καίτοι πολλὰς τῆς χώρας ἐχούσης μυριάδας ἀνδρῶν οὐκ ἀτόλμων. διὰ τοῦτο Φοίνικες μὲν αὐτοὶ κατ᾽ 63
ἐμπορίαν τοῖς Ἕλλησιν ἐπεισπλέοντες εὐθὺς ἐγνώσθησαν καὶ δι᾽ ἐκείνων Αἰγύπτιοι καὶ πάντες, ἀφ᾽ ὧν τὸν φόρτον εἰς τοὺς Ἕλληνας διεκόμιζον μεγάλα πελάγη διαίροντες. Μῆδοι δὲ μετὰ ταῦτα 64

---

2 κἀν L 3 λέγωσιν] *dicantur* Lat οὔτι γε coni 8 ὅτι] Gutschmid ὡς ὅτι L *quia* Lat 14 ἐν τοῖς λόγοις] *ipsi rationi* Lat ἀλόγως Hudson ἐκτὸς λόγου Gutschmid 22 οὐδὲν — 23 ποιοῦν] *nihil fuit in antiquis temporibus quod faceret* Lat ἐν] ἦν ἐν ed. pr. 23 ποιοῦν] τὸ ποιοῦν ed. pr. ἡμῖν post Ἕλληνας tr. ed. pr. 26 περὶ om. ed. pr. 27 ἢ — 28 ἐτράπησαν] *aut amplius habere concupiscentes ad bella conuersi sunt* Lat 28 πολεμοῦντας Gutschmid

καὶ Πέρσαι φανεροὶ κατέστησαν τῆς Ἀσίας ἐπάρξαντες, οἱ δὲ καὶ μέχρι τῆς ἡμετέρας ἠπείρου Πέρσαι στρατεύσαντες. Θρᾷκες δὲ διὰ γειτονίαν καὶ τὸ Σκυθικὸν ὑπὸ τῶν εἰς τὸν Πόντον ἐγνώσθη
65 πλεόντων. ὅλως γὰρ ἅπαντες οἱ παρὰ τὴν θάλατταν καὶ τὴν πρὸς ταῖς ἀνατολαῖς καὶ πρὸς τὴν ἑσπέριον κατοικοῦντες τοῖς συγγράφειν τι βουλομένοις γνωριμώτεροι κατέστησαν, οἱ δὲ ταύ-
66 της ἀνωτέρω τὰς οἰκήσεις ἔχοντες ἐπὶ πλεῖστον ἠγνοήθησαν. καὶ τοῦτο φαίνεται καὶ περὶ τὴν Εὐρώπην συμβεβηκός, ὅπου γε τῆς Ῥωμαίων πόλεως, τοιαύτην ἐκ μακροῦ δύναμιν κεκτημένης καὶ τοιαύτας πράξεις κατορθούσης πολεμικάς, οὔθ' ὁ Ἡρόδοτος οὔτε Θουκυδίδης οὔτε τῶν ἅμα τούτοις γενομένων οὐδὲ εἷς ἐμνημόνευκεν, ἀλλ' ὀψέ ποτε καὶ μόλις αὐτῶν εἰς τοὺς Ἕλληνας ἡ γνῶσις διεξ-
67 ῆλθεν. περὶ μὲν γὰρ Γαλατῶν τε καὶ Ἰβήρων οὕτως ἠγνόησαν οἱ δοκοῦντες ἀκριβέστατοι συγγραφεῖς, ὧν ἐστιν Ἔφορος, ὥστε πόλιν οἴεται μίαν εἶναι τοὺς Ἴβηρας τοὺς τοσοῦτο μέρος τῆς ἑσπερίου γῆς κατοικοῦντας, καὶ τὰ μήτε γενόμενα παρ' αὐτοῖς ἔθη μήτε
68 λεγόμενα γράφειν ὡς ἐκείνων αὐτοῖς χρωμένων ἐτόλμησαν. αἴτιον δὲ τοῦ μὲν μὴ γιγνώσκειν τἀληθὲς τὸ λίαν ἀνεπίμικτον, τοῦ δὲ γράφειν ψευδῆ τὸ βούλεσθαι δοκεῖν τι πλέον τῶν ἄλλων ἱστορεῖν. πῶς οὖν ἔτι θαυμάζειν προσῆκεν, εἰ μηδὲ τὸ ἡμέτερον ἔθνος πολλοῖς ἐγιγνώσκετο μηδὲ τῆς ἐν τοῖς συγγράμμασι μνήμης ἀφορμὴν παρέσχεν, οὕτως μὲν ἀπῳκισμένον τῆς θαλάσσης, οὕτως δὲ βιοτεύειν προῃρημένον;

69 13. Φέρε τοίνυν ἡμᾶς ἀξιοῦν τεκμηρίῳ χρῆσθαι περὶ τῶν Ἑλλήνων, ὅτι μὴ παλαιόν ἐστιν αὐτῶν τὸ γένος, τῷ μηθὲν ἐν ταῖς ἡμετέραις ἀναγραφαῖς περὶ αὐτῶν εἰρῆσθαι. ἆρ' οὐχὶ πάντως ἂν κατεγέλων αὐτὰς οἶμαι τὰς ὑπ' ἐμοῦ νῦν εἰρημένας κομίζοντες αἰτίας καὶ μάρτυρας ἂν τοὺς πλησιοχώρους παρείχοντο τῆς αὐτῶν
70 ἀρχαιότητος; κἀγὼ τοίνυν πειράσομαι τοῦτο ποιεῖν· Αἰγυπτίοις γὰρ καὶ Φοίνιξι μάλιστα δὴ χρήσομαι μάρτυσιν, οὐκ ἄν τινος ὡς ψευδῆ τὴν μαρτυρίαν διαβάλλειν δυνηθέντος· φαίνονται γὰρ καὶ δὴ μάλιστα πρὸς ἡμᾶς δυσμενῶς διατεθέντες κοινῇ μὲν ἅπαντες
71 Αἰγύπτιοι, Φοινίκων δὲ Τύριοι. περὶ μέντοι Χαλδαίων οὐκέτι ταὐτὸ τοῦτο δυναίμην ἂν λέγειν, ἐπεὶ καὶ τοῦ γένους ἡμῶν ἀρχηγοὶ

---

2 ἡμετέρας] *alteram* Lat, unde ἑτέρας Hudson 3 ὑπὸ] coni ἀπὸ L τῶν ex τὸν aut τοῦ corr. L 5 πρὸς τὴν ἑσπέριον] *hesperium* Lat τὴν προσεσπέριον Gutschmid 7 ἠγνοήθησαν] ed. pr. *sunt — ignorati* Lat ἠγνόησαν L 10 ὁ spurium uid. οὔθ' ὁ Θουκυδίδης ed. pr. 24 χρήσασθαι ed. pr. 34 ταὐτὸ τοῦτο] *hoc* Lat

καθεστήκασιν καὶ διὰ τὴν συγγένειαν ἐν ταῖς αὐτῶν ἀναγραφαῖς Ἰουδαίων μνημονεύουσιν. ὅταν δὲ τὰς περὶ τούτων πίστεις παρά- 72
σχω, τότε καὶ τῶν Ἑλλήνων συγγραφέων ἀποφανῶ τοὺς μνήμην Ἰουδαίων πεποιηκότας, ἵνα μηδὲ ταύτην ἔτι τὴν πρόφασιν οἱ βα-
σκαίνοντες ἔχωσιν τῆς πρὸς ἡμᾶς ἀντιλογίας.

14. Ἄρξομαι δὲ πρῶτον ἀπὸ τῶν παρ᾽ Αἰγυπτίοις γραμμά- 73
των. αὐτὰ μὲν οὖν οὐχ οἷόν τε παρατίθεσθαι τἀκείνων, Μάνεθως δ᾽ ἦν τὸ γένος Αἰγύπτιος ἀνὴρ τῆς Ἑλληνικῆς μετεσχηκὼς παι-
δείας, ὡς δῆλός ἐστιν· γέγραφεν γὰρ Ἑλλάδι φωνῇ τὴν πάτριον
ἱστορίαν ἔκ τε τῶν ἱερῶν, ὥς φησιν αὐτός, μεταφράσας καὶ πολλὰ τὸν Ἡρόδοτον ἐλέγχει τῶν Αἰγυπτιακῶν ὑπ᾽ ἀγνοίας ἐψευσμένον. οὗτος δὴ τοίνυν ὁ Μάνεθως ἐν τῇ δευτέρᾳ τῶν Αἰγυπτιακῶν ταῦτα 74
περὶ ἡμῶν γράφει. παραθήσομαι δὲ τὴν λέξιν αὐτοῦ καθάπερ αὐ-
τὸν ἐκεῖνον παραγαγὼν μάρτυρα· „* τοῦ τίμαιος ὄνομα. ἐπὶ τούτου 75
οὐκ οἶδ᾽ ὅπως θεὸς ἀντέπνευσεν καὶ παραδόξως ἐκ τῶν πρὸς ἀνα-
τολὴν μερῶν ἄνθρωποι τὸ γένος ἄσημοι καταθαρρήσαντες ἐπὶ τὴν
χώραν ἐστράτευσαν καὶ ῥᾳδίως ἀμαχητὶ ταύτην κατὰ κράτος εἷλον,
καὶ τοὺς ἡγεμονεύσαντας ἐν αὐτῇ χειρωσάμενοι τὸ λοιπὸν τάς τε 76
πόλεις ὠμῶς ἐνέπρησαν καὶ τὰ τῶν θεῶν ἱερὰ κατέσκαψαν, πᾶσι
δὲ τοῖς ἐπιχωρίοις ἐχθρότατά πως ἐχρήσαντο τοὺς μὲν σφάζοντες,
τῶν δὲ καὶ τὰ τέκνα καὶ γυναῖκας εἰς δουλείαν ἄγοντες. πέρας 77
δὲ καὶ βασιλέα ἕνα ἐξ αὐτῶν ἐποίησαν, ᾧ ὄνομα ἦν Σάλιτις. καὶ
οὗτος ἐν τῇ Μέμφιδι κατεγίνετο τήν τε ἄνω καὶ κάτω χώραν δασμο-

---

LLatEusebius praep. euang. X 13. chron. I p. 151 Schöne.

1 αὐτῶν Bekker 3 *et blasphemias falsas ostendero* post παράσχω add. Lat 6 incip. Eusebius praep. et chron. δὲ] Eus. δὴ L *autem* Lat 7 οὐχ οἷόν τε] Euseb. οὐκ οἷοντε L *non arbitrantur* Lat οὐχ οἷων τε ed. pr. *Μάνε-θως* — 8 ἀνὴρ] *manethon itaque genere uir aegyptiorum* Lat *Μάνεθως*] Eus. *μανεθὼν* ex *μανέθων* corr. L *manethon* Lat; non dubitaui ubique etiam contra codicis L et Latini auctoritatem reponere *Μάνεθως*, quod apud Josephum legerunt et Theophilus ad Autol. III 20 sq. et Eusebius, praesertim cum etiam L exhibeat *Μανεθὼς* infra §§ 226, 285, 286, 294, 298 II 16 cf. Antiq. Iud. I 107 8 δ᾽ ἦν] δὲ Eus *ἀνὴρ αἰγύπτιος* tr. L et Eusebii cod. G 9 γὰρ om. ut uid. Eus. Arm. *τὴν πάτριον*] *paternae religionis* Lat 10 τε τῶν] *δέλτων* Gutschmid ἱερῶν] Eus ἱερέων L *sacris — libris* Lat *sacris monumentis* Eus. Arm. cf. § 226 10 καὶ] ὃς καὶ Eus 11 ὑπ᾽] ἀπ᾽ L¹ 12 οὗτος] Euseb. αὐτὸς L *ipse* Lat *Μανεθὼν* LLat 13 τὴν λέξιν] *etiam sermonem* Lat 14 τοῦ τίμαιος ὄνομα] *honorabile nomen* Lat *honorabilis nomen* Eus. Arm. ἐγέ-νετο βασιλεὺς ἡμῖν τίμαος ὄνομα ed. pr. 15 ὁ θεὸς Euseb ἀνατολῆς Eusebii cod. G, fort. recte 16 καταθαρσήσαντες L 17 εἷλον fin. Euseb praep.

22 Σάλιτις] σάλατις L *sualitis* Lat *Silitis* Euseb. Arm. Σαΐτης Manetho apud Schol. Platon. Tim. p. 21 E et Africanum (Euseb. chron. p. 143 Schöne)

λογῶν καὶ φρουρὰν ἐν τοῖς ἐπιτηδειοτάτοις καταλιπὼν τόποις. μάλιστα δὲ καὶ τὰ πρὸς ἀνατολὴν ἡσφαλίσατο μέρη προορώμενος Ἀσσυρίων ποτὲ μεῖζον ἰσχυόντων ἐσομένην ἐπιθυμίᾳ τῆς αὐτοῦ
78 βασιλείας ἔφοδον. εὑρὼν δὲ ἐν νομῷ τῷ Σεθροΐτῃ πόλιν ἐπικαιροτάτην, κειμένην μὲν πρὸς ἀνατολὴν τοῦ Βουβαστίτου ποταμοῦ, καλουμένην δ' ἀπό τινος ἀρχαίας θεολογίας Αὔαριν, ταύτην ἔκτισέν τε καὶ τοῖς τείχεσιν ὀχυρωτάτην ἐποίησεν ἐνοικίσας αὐτῇ καὶ πλῆθος ὁπλιτῶν εἰς εἴκοσι καὶ τέσσαρας μυριάδας ἀνδρῶν προφυ-
79 λακήν. ἔνθα δὲ κατὰ θέρειαν ἤρχετο τὰ μὲν σιτομετρῶν καὶ μισθοφορίαν παρεχόμενος τὰ δὲ καὶ ταῖς ἐξοπλισίαις πρὸς φόβον τῶν ἔξωθεν ἐπιμελῶς γυμνάζων. ἄρξας δ' ἐννεακαίδεκα ἔτη τὸν βίον
80 ἐτελεύτησε. μετὰ τοῦτον δὲ ἕτερος ἐβασίλευσεν τέσσαρα καὶ τεσσαράκοντα ἔτη καλούμενος Βηών. μεθ' ὃν ἄλλος Ἀπαχνὰς ἓξ καὶ τριάκοντα ἔτη καὶ μῆνας ἑπτά. ἔπειτα δὲ καὶ Ἄπωφις ἓν καὶ ἑξήκοντα καὶ Ἰαννὰς πεντήκοντα καὶ μῆνα ἕνα. ἐπὶ πᾶσι δὲ καὶ Ἄσσις
81 ἐννέα καὶ τεσσαράκοντα καὶ μῆνας δύο. καὶ οὗτοι μὲν ἓξ ἐν αὐτοῖς ἐγενήθησαν πρῶτοι ἄρχοντες ποθοῦντες ἀεὶ καὶ μᾶλλον τῆς Αἰ-
82 γύπτου ἐξᾶραι τὴν ῥίζαν. ἐκαλεῖτο δὲ τὸ σύμπαν αὐτῶν ἔθνος Ὑκσώς, τοῦτο δέ ἐστιν βασιλεῖς ποιμένες· τὸ γὰρ υκ καθ' ἱερὰν

LLatEusebius chron. I p. 151 Schöne, praep. euang. X 13, 3.

1 *καταλείπων* ed. pr. 3 *Ἀσσυρίων — ἔφοδον*] *quoniam assyrii aliquando plus ualentes erant desideraturi regnum eius inuadere* Lat *ποτὲ*] *τότε* Perizonius *illo tempore* Eus. Arm., qui haec parum accurate uertit *ἐπιθυμίᾳ*] Bekker *ἐπιθυμίαν* L *αὐτοῦ*] ex Lat *αὐτῆς* L 4 *ἔφοδον* Perizonius *νομῷ τῷ Σεθροΐτῃ*] Bernard ex Africano et schol. Platon. *per legem Methrajitem* Eus. Arm. *νόμωι τῶι σαΐτηι* L *nomotosuali* Lat 6 *Αὔαριν*] *euaris* Lat 7 *ἐνοικίσας*] ed. pr. *ἐνοικήσασ* L *collocans* Lat 8 *πρὸς φυλακήν* ed. pr. *ad custodiam* Eus. Arm. 9 *ἔνθα δὲ*] Lat *ἐνθάδε* L *ἤρχετο* non satis intellego 11 *ἐννεακαίδεκα*] *XV* Eus 12 *τέσσαρα καὶ τεσσαράκοντα*] *XLIII* Eus *τετταράκοντα* ed. pr. 13 *Βηών*] *Banon* Euseb. Arm. *Βνὼν* schol. Platon et Africanus, quod reponi iubet Gutschmid *apachas* Lat *Apakhnan* Eus *Παχνὰν* Africanus *Ἀρχάης* schol. Platon 14 *Ἄπωφις*] *Aphosis* Eus. Arm. *Ἄφοβις* African. *Ἄφωφις* schol. Plat. 15 *Ἰαννὰς*] *samnas* Lat *Anan* Euseb. Arm., *ἰανίας* ed. pr. *Ἄννας* uel *Ἄνναν* Gutschmid *καὶ* (ante *Ἄσσις*) om. Lat et Eus *ases* Lat *Aseth* Eus quod Iosephum dedisse putat Gutschmid 17 *ποθοῦντες — 18 ῥίζαν*] *qui semper regionem spolationibus praedisque depopulabantur maxime quod Egiptiorum fere genus ac semen delere studebant* Eus. Arm. *debellantes semper et maxime aegypti radicem amputare cupientes* Lat, unde *πολεμοῦντες ἀεὶ καὶ ποθοῦντες μᾶλλον — ῥίζαν* Big. et Hafn. apud Hudson *ποθοῦντες*] ed. pr. *πορθοῦντεσ* L 18 *ἐκαλεῖτο*] incip. Euseb. praep. *σύμπαν αὐτῶν*] EusLat, om. L 19 *Ὑκσώς*] *sesos* Lat *Ὑκουσσὼς* (*Hikkusin* Arm.) Euseb. recte, ut iudicat Gutschmid; nam *ὑκου* pluralem esse Aegyptiorum *υκ*] *se* Lat

γλῶσσαν βασιλέα σημαίνει, τὸ δὲ σὼς ποιμήν ἐστι καὶ ποιμένες κατὰ τὴν κοινὴν διάλεκτον, καὶ οὕτως συντιθέμενον γίνεται Ὑκσώς. τινὲς δὲ λέγουσιν αὐτοὺς Ἄραβας εἶναι. [ἐν δ' ἄλλῳ ἀντιγράφῳ 83 οὐ βασιλεῖς σημαίνεσθαι διὰ τῆς ὑκ προσηγορίας, ἀλλὰ τοὐναντίον αἰχμαλώτους δηλοῦσθαι ποιμένας· τὸ γὰρ ὖκ πάλιν Αἰγυπτιστὶ καὶ τὸ ἂκ δασυνόμενον αἰχμαλώτους ῥητῶς μηνύει. καὶ τοῦτο μᾶλλον πιθανώτερόν μοι φαίνεται καὶ παλαιᾶς ἱστορίας ἐχόμενον.] τού- 84 τους τοὺς προκατωνομασμένους βασιλέας καὶ τοὺς τῶν ποιμένων καλουμένων καὶ τοὺς ἐξ αὐτῶν γενομένους κρατῆσαι τῆς Αἰγύπτου φησὶν ἔτη πρὸς τοῖς πεντακοσίοις ἕνδεκα. μετὰ ταῦτα δὲ τῶν ἐκ 85 τῆς Θηβαΐδος καὶ τῆς ἄλλης Αἰγύπτου βασιλέων γενέσθαι φησὶν ἐπὶ τοὺς ποιμένας ἐπανάστασιν καὶ πόλεμον συρραγῆναι μέγαν καὶ πολυχρόνιον. ἐπὶ δὲ βασιλέως, ᾧ ὄνομα εἶναι Μισφραγμού- 86 θωσις, ἡττωμένους φησὶ τοὺς ποιμένας ἐκ μὲν τῆς ἄλλης Αἰγύπτου πάσης ἐκπεσεῖν, κατακλεισθῆναι δ' εἰς τόπον ἀρουρῶν ἔχοντα μυρίων τὴν περίμετρον· Ἄυαριν ὄνομα τῷ τόπῳ. τοῦτόν φησιν ὁ 87 Μάνεθως ἅπαντα τείχει τε μεγάλῳ καὶ ἰσχυρῷ περιβαλεῖν τοὺς ποιμένας, ὅπως τήν τε κτῆσιν ἅπασαν ἔχωσιν ἐν ὀχυρῷ καὶ τὴν λείαν τὴν ἑαυτῶν. τὸν δὲ Μισφραγμουθώσεως υἱὸν Θούμμωσιν 88 ἐπιχειρῆσαι μὲν αὐτοὺς διὰ πολιορκίας ἑλεῖν κατὰ κράτος ὀκτὼ καὶ τεσσαράκοντα μυριάσι στρατοῦ προσεδρεύσαντα τοῖς τείχεσιν· ἐπεὶ δὲ τὴν πολιορκίαν ἀπέγνω, ποιήσασθαι συμβάσεις, ἵνα τὴν

LLatEusebius chron. I p. 153 Schöne, praep. euang. X 13. 4.

1 *σὼς*] *οὐσσὼς* (*σόος* cod. G) Eus 2 *οὕτω* Euseb *Ὑκουσσὼς* (*Hykusos* Arm.) Euseb *ycsos* codd. meliores Lat *sesos* alii. 3 *ἐν δὲ* — 7 *ἐχόμενον* spuria uid. facta ex § 91; cf. quae infra § 92 in margine adnotata sunt his similia 4 *comperi* post *σημαίνεσθαι* add. Lat *ὖκ*] *τοῦ ὖκ* L et Eusebii cod. G *Ὑκουσσὼς* Eus. praep. *hyk* Eus. Arm. 5 *αἰχμαλώτους*] *βασιλεῖς αἰχμαλώτους* L *ποιμένας*] *οὐ ποιμένας* L *neque pastores* Lat *ὖκ*] *yc* Lat *Ὑκουσσὼς* Eus. praep. *hyk* Eus. chron. *πάλιν*] LLat Eus. chron., om. Eus. praep. 6 *ac* Lat 7 *τούτους*] *hos ergo* Lat et Eus. Arm. *τούτους δὲ* (*δὲ* om. cod. G) Eus. praep. 10 *πρὸς τοῖς φ' ια'* Eus. praep. 11 *ἄλλης*] *ἄνω* Gutschmid 12 *πόλεμον*] *πόλεμον αὐτοῖς* LLat 13 *ἐπὶ*] Euseb. *ἐπεὶ* L *Μισφραγμούθωσις*] Eus. *ἁλισφραγμούθωσις* L *alisfragmuthos* Lat *Misphragmthosis* Arm. hic et u. 19 14 *ἡττημένους* coni *ἐξ αὐτοῦ* (*ὑπ' αὐτοῦ* ed. pr.) post *ποιμένας* add. L *ἐκ*] *καὶ ἐκ* Eus. praep. (praeter cod. G) 15 *πάσης*] LLat Eus. chron., om. Eus. praep. *δὲ* Eus *ἀρουρῶν — μυρίων*] *ulnarum undecim milium* Lat 16 *Ἄυαριν*] *auarim* Lat *Ἄυαρις* Eus. praep. *Aurajis* Euseb. Arm. 17 *Μανεθὼν* LLat 18 *ἐχυρῷ* apud Eus. traditum uid 19 *Μισφραγμουθώσεως*] *ἁλισφραγμουθώσεως* L *alisfraymathoseos* Lat *Θούμμωσιν*] *thumnosim* Lat *Θμούθωσιν* Euseb. praep. *Thmosim* Euseb. Arm., infra 94 *Τέθμωσις* 22 *τῆσ πολιορκίασ* L

Αἴγυπτον ἐκλιπόντες ὅποι βούλονται πάντες ἀβλαβεῖς ἀπέλθωσι.
89 *τοὺς δὲ ἐπὶ ταῖς ὁμολογίαις πανοικησίᾳ μετὰ τῶν κτήσεων οὐκ*
ἐλάττους μυριάδων ὄντας εἴκοσι καὶ τεσσάρων ἀπὸ τῆς Αἰγύπτου
90 *τὴν ἔρημον εἰς Συρίαν διοδοιπορῆσαι. φοβουμένους δὲ τὴν Ἀσσυ-*
ρίων δυναστείαν, τότε γὰρ ἐκείνους τῆς Ἀσίας κρατεῖν, ἐν τῇ νῦν
Ἰουδαίᾳ καλουμένῃ πόλιν οἰκοδομησαμένους τοσαύταις μυριάσιν ἀν-
91 *θρώπων ἀρκέσουσαν Ἱεροσόλυμα ταύτην ὀνομάσαι. ἐν ἄλλῃ δέ τινι*
βίβλῳ τῶν Αἰγυπτιακῶν Μάνεθως τοῦτό φησιν τὸ ἔθνος τοὺς κα-
λουμένους ποιμένας αἰχμαλώτους ἐν ταῖς ἱεραῖς αὐτῶν βίβλοις γε-
γράφθαι λέγων ὀρθῶς· καὶ γὰρ τοῖς ἀνωτάτω προγόνοις ἡμῶν τὸ
ποιμαίνειν πάτριον ἦν καὶ νομαδικὸν ἔχοντες τὸν βίον οὕτως ἐκα-
92 *λοῦντο ποιμένες. αἰχμάλωτοί τε πάλιν οὐκ ἀλόγως ὑπὸ τῶν Αἰγυ-*
πτίων ἀνεγράφησαν, ἐπειδήπερ ὁ πρόγονος ἡμῶν Ἰώσηπος ἑαυτὸν
ἔφη πρὸς τὸν βασιλέα τῶν Αἰγυπτίων αἰχμάλωτον εἶναι, καὶ τοὺς
ἀδελφοὺς εἰς τὴν Αἴγυπτον ὕστερον μετεπέμψατο τοῦ βασιλέως
ἐπιτρέψαντος. ἀλλὰ περὶ μὲν τούτων ἐν ἄλλοις ποιήσομαι τὴν
ἐξέτασιν ἀκριβεστέραν.
93 15. *Νυνὶ δὲ τῆς ἀρχαιότητος ταύτης παρατίθεμαι τοὺς Αἰγυ-*
πτίους μάρτυρας. πάλιν οὖν τὰ τοῦ Μανέθω πῶς ἔχει πρὸς τὴν
94 *τῶν χρόνων τάξιν ὑπογράψω. φησὶ δὲ οὕτως· „μετὰ τὸ ἐξελθεῖν*
ἐξ Αἰγύπτου τὸν λαὸν τῶν ποιμένων εἰς Ἱεροσόλυμα ὁ ἐκβαλὼν
αὐτοὺς ἐξ Αἰγύπτου βασιλεὺς Τέθμωσις ἐβασίλευσεν μετὰ ταῦτα
ἔτη εἰκοσιπέντε καὶ μῆνας τέσσαρας καὶ ἐτελεύτησεν, καὶ παρέ-
95 *λαβεν τὴν ἀρχὴν ὁ αὐτοῦ υἱὸς Χέβρων ἔτη δεκατρία. μεθ' ὃν Ἀμέ-*
νωφις εἴκοσι καὶ μῆνας ἑπτά. τοῦ δὲ ἀδελφὴ Ἀμεσσὴς εἰκοσιὲν
καὶ μῆνας ἐννέα. τῆς δὲ Μήφρης δώδεκα καὶ μῆνας ἐννέα. τοῦ

LLat Theophilus ad Autol. III 20. Eusebius praep. euang. X 13. 8, chron. I p. 155, Schöne.

2 *πανοικεσίᾳ* Euseb *οὐχ* L 3 *ἐλάσσους* Eus *εἰκοσιτεσσάρων* Euseb 4 *Συρίαν*] *Assyriam* Euseb. Armen. *διοδοιπορῆσαι*] *ὁδοιπορῆσαι* L *iter egisse* Lat 7 *ὀνομάσαι*] *ὠνόμασαν* L *uocitasse* Lat, fin. Euseb. praep. 8 *Μάνεθως*] *μανεθὼν* LLat *τοῦτο*] *τὸ αὐτὸ* Gutschmid *τὸ*] Bekker, om. L 13 *Ἰώσηπος*] i. marg. m. 1: *ἐν ἑτέρῳ ἀντιγράφῳ εὑρέθη οὕτως: κατήχθη πραθεὶς παρὰ τῶν ἀδελφῶν εἰσ αἴγυπτον πρὸσ τὸν βασιλέα τῆσ αἰγύπτου· καὶ πάλιν ὕστερον τοὺσ αὐτοῦ ἀδελφοὺσ μετεπέμψατο τοῦ βασιλέωσ ἐπιτρέψαντοσ*: L 19 *Μανεθῶνος* L *manethonis* Lat 20 *ὑπογράψω*] *describam* Lat abhinc excerpsit Theophilus 22 *Τέθμωσις*] *themusis* Lat *Sethmosis* Euseb. *Μωσῆς* Theophili libri, unde *Ἄμωσις* fecit Bunsen, sed paullo infra *Τέθμωσις* apud Theophilum traditur 24 *ὃν, ο* ex *ω* corr. L 25 *εἴκοσι — Ἀμεσσὴς* om. Lat *Ἀμεσσὴς*] *Ἀμέσση* Theoph. *Amenses* Euseb. *Ἀμενσὶς* Africanus ap. Sync. p. 130 *mifris* Lat 26 *καὶ μῆνας ἐννέα*] om. Euseb. *μῆνα α'* Theoph.

δὲ Μηφραμούθωσις εἰκοσιπέντε καὶ μῆνας δέκα. τοῦ δὲ Θμῶσις 96
ἐννέα καὶ μῆνας ὀκτώ. τοῦ δ' Ἀμένωφις τριάκοντα καὶ μῆνας
δέκα. τοῦ δὲ Ὦρος τριακονταὲξ καὶ μῆνας πέντε. τοῦ δὲ Θυγάτηρ
Ἀκεγχερὴς δώδεκα καὶ μῆνα ἕνα. τῆς δὲ Ῥάθωτις ἀδελφὸς ἐννέα.
τοῦ δὲ Ἀκεγχήρης δώδεκα καὶ μῆνας πέντε. τοῦ δὲ Ἀκεγχήρης 97
ἕτερος δώδεκα καὶ μῆνας τρεῖς. τοῦ δὲ Ἄρμαϊς τέσσαρα καὶ μῆνα
ἕνα. τοῦ δὲ Ῥαμέσσης ἓν καὶ μῆνας τέσσαρας. τοῦ δὲ Ἀρμέσσης
Μιαμοῦν ἑξηκονταὲξ καὶ μῆνας δύο. τοῦ δὲ Ἀμένωφις δεκαεννέα
καὶ μῆνας ἕξ. τοῦ δὲ Σέθως ὁ καὶ Ῥαμέσσης ἱππικὴν καὶ ναυτικὴν 98
ἔχων δύναμιν τὸν μὲν ἀδελφὸν Ἄρμαϊν ἐπίτροπον τῆς Αἰγύπτου
κατέστησεν καὶ πᾶσαν μὲν αὐτῷ τὴν ἄλλην βασιλικὴν περιέθηκεν
ἐξουσίαν, μόνον δὲ ἐνετείλατο διάδημα μὴ φορεῖν μηδὲ τὴν βασι-
λίδα μητέρα τε τῶν τέκνων ἀδικεῖν, ἀπέχεσθαι δὲ καὶ τῶν ἄλλων
βασιλικῶν παλλακίδων. αὐτὸς δὲ ἐπὶ Κύπρον καὶ Φοινίκην καὶ 99
πάλιν Ἀσσυρίους τε καὶ Μήδους στρατεύσας ἅπαντας τοὺς μὲν
δόρατι, τοὺς δὲ ἀμαχητὶ φόβῳ δὲ τῆς πολλῆς δυνάμεως ὑποχει-
ρίους ἔλαβε καὶ μέγα φρονήσας ἐπὶ ταῖς εὐπραγίαις ἔτι καὶ θαρσα-
λεώτερον ἐπεπορεύετο τὰς πρὸς ἀνατολὰς πόλεις τε καὶ χώρας κατα-

---

LLat Theophilus ad Autol. III 20. Eusebius Arm. chron. I p. 157 Schöne.

1 *Μηφραμούθωσις*] *mifranthusis* Lat *Μηφραμμούθωσις* Theoph. *Mephrathmuthoses* Euseb. *Μισφραγμούθωσις* Africanus *εἰκοσιπέντε*] κ' Theoph. *δέκα*] *IX* Euseb *Θμῶσις*] *etmusis* Lat *Τυθμώσης* Theoph. *Thmothosis* Euseb. *Τούθμωσις* African. 2 *δ' Ἀμένωφις*] *Λαμφενόφις* (h. e. *δ' Ἀμφένωφις*) Theoph. 3 *τριακονταὲξ*] *XXXVIII* Euseb *πέντε*] *VII* Euseb *τοῦ δὲ Θυγάτηρ* — 6 *μῆνας τρεῖς*] *τούτου δὲ Θυγάτηρ ἔτη ι' μῆνας γ'. μετὰ δὲ ταύτην Μερχερὴς ἔτη ιβ' μῆνας γ'* Theoph. 4 *Ἀκεγχερὴς*] *acenchres* Lat *Khenkheres* Euseb. *Ἀχερρῆς* African. *Ῥάθωτις*] *Athohvis* aut *Athohyis* Euseb. *Ῥαθῶς* African. 5 *Ἀκεγχήρης*] *acencherides* Lat *Khenkheres* Euseb *δώδεκα* — 6 *ἕτερος* om. Lat *Ἀκεγχήρης ἕτερος*] *Akhenkheres* Euseb 6 et 10 *armes* Lat *Armajis* Euseb 7 *τοῦ δὲ Ῥαμέσσης* — 8 *μῆνας δύο*] *μετὰ δὲ τοῦτον μέσσησ μιαμμοῦ ἔτη ς' καὶ μετὰ τοῦτον ῥαμέσσησ ἐνιαυτὸν μῆνασ δ' καὶ μῆνασ β'* Theophili libri *Ῥαμέσσης*] *armesis* Lat *Rrameses* Euseb *ἓν καὶ* — *Ἀρμέσσης* om. Euseb *ἁρμεσσησ* L *armesis* Lat 8 *miamus* Lat 9 *τοῦ δὲ Σέθως* — 11 *κατέστησεν*] i. marg m. 1 *εὑρέθη ἐν ἑτέρῳ ἀντιγράφω οὕτωσ : μεθ' ὃν σέθωσισ καὶ ῥαμέσσησ δύο ἀδελφοί· ὁ μὲν ναυτικὴν ἔχων δύναμιν· τουσ καταθάλατταν ἀπαντῶντασ καὶ διαχειρωμένουσ ἐπολιόρκει· μετουπολὺ δὲ καὶ τὸν ῥαμέσσην ἀνελών. ἅρμαϊν ἄλλον αὐτου ἀδελφὸν ἐπίτροπον τῆσ αἰγύπτου καταστῆσαι* L; cf. Herodot II 102 *Σέθως ὁ καὶ Ῥαμέσσης*] ex Euseb. Böckh Manetho p. 301 *Sethos qui et Rrameses* Eus. *Θοῖσσος καὶ Ῥαμέσσης ἔτη ι'* Theoph. *σέθωσισ καὶ ῥαμέσσησ* L *sedhossis* Lat; *Σέθως* uocatur infra § 231 et inde apud Theophilum itidemque apud Africanum (Sync. p. 134) 10 *τὸν*] *οὗτος τὸν* ed. pr. *Ἄρμαϊν*] *armen* Lat *Ἔρμαιος* et *Ἑρμᾶς* infra § 231

100 στρεφόμενος. χρόνου τε ἱκανοῦ γεγονότος Ἅρμαϊς ὁ καταλειφθεὶς
ἐν Αἰγύπτῳ πάντα τἄμπαλιν οἷς ἀδελφὸς παρῆνει μὴ ποιεῖν ἀδεῶς
ἔπραττεν· καὶ γὰρ τὴν βασιλίδα βιαίως ἔσχεν καὶ ταῖς ἄλλαις παλ-
λακίσιν ἀφειδῶς διετέλει χρώμενος, πειθόμενος δὲ ὑπὸ τῶν φίλων
101 διάδημα ἐφόρει καὶ ἀντῆρε τῷ ἀδελφῷ. ὁ δὲ τεταγμένος ἐπὶ τῶν
ἱερέων τῆς Αἰγύπτου γράψας βιβλίον ἔπεμψε τῷ Σεθώσει δηλῶν
αὐτῷ πάντα καὶ ὅτι ἀντῆρεν ὁ ἀδελφὸς αὐτοῦ Ἅρμαϊς. παραχρῆμα
οὖν ὑπέστρεψεν εἰς Πηλούσιον καὶ ἐκράτησεν τῆς ἰδίας βασιλείας.
102 ἡ δὲ χώρα ἐκλήθη ἀπὸ τοῦ αὐτοῦ ὀνόματος Αἴγυπτος· λέγει γάρ,
ὅτι ὁ μὲν Σέθως ἐκαλεῖτο Αἴγυπτος, Ἅρμαϊς δὲ ὁ ἀδελφὸς αὐτοῦ
Δαναός.

103 16. Ταῦτα μὲν ὁ Μάνεθως. δῆλον δέ ἐστιν ἐκ τῶν εἰρημέ-
νων ἐτῶν τοῦ χρόνου συλλογισθέντος, ὅτι οἱ καλούμενοι ποιμένες
ἡμέτεροι δὲ πρόγονοι τρισὶ καὶ ἐνενήκοντα καὶ τριακοσίοις πρόσθεν
ἔτεσιν ἐκ τῆς Αἰγύπτου ἀπαλλαγέντες τὴν χώραν ταύτην ἐπῴκησαν
ἢ Δαναὸν εἰς Ἄργος ἀφικέσθαι· καίτοι τοῦτον ἀρχαιότατον Ἀργεῖοι
104 νομίζουσι. δύο τοίνυν ὁ Μάνεθως ἡμῖν τὰ μέγιστα μεμαρτύρηκεν
ἐκ τῶν παρ' Αἰγυπτίοις γραμμάτων, πρῶτον μὲν τὴν ἑτέρωθεν
ἄφιξιν εἰς Αἴγυπτον, ἔπειτα δὲ τὴν ἐκεῖθεν ἀπαλλαγὴν οὕτως ἀρ-
χαίαν τοῖς χρόνοις, ὡς ἐγγύς που προτερεῖν αὐτὴν τῶν Ἰλιακῶν
105 ἔτεσι χιλίοις. ὑπὲρ ὧν δ' ὁ Μάνεθως οὐκ ἐκ τῶν παρ' Αἰγυπ-
τίοις γραμμάτων, ἀλλ' ὡς αὐτὸς ὡμολόγηκεν ἐκ τῶν ἀδεσπότως
μυθολογουμένων προστέθεικεν, ὕστερον ἐξελέγξω κατὰ μέρος ἀπο-
δεικνὺς τὴν ἀπίθανον αὐτοῦ ψευδολογίαν.

106 17. Βούλομαι τοίνυν ἀπὸ τούτων ἤδη μετελθεῖν ἐπὶ τὰ παρὰ

LLat Theophilus ad Autol. III 20 sq., Eusebius chron. Arm. I pp. 157, 113 Schöne, praep. euang. X 13. 11; Cramer anecdota Par. II p. 184.

1 τε] *autem* Eus. chron. *armes* Lat *Armajis* Euseb., item 7 et 10 2 τοὔμπαλιν ed. pr. ὁ ἀδελφὸς Bekker ἀδελφὸς Gutschmid 4 δὲ] *que* Lat et Eus. chron., unde τε coni. 6 ἱερέων] *sacra* Lat *fana* Euseb. ἱερῶν Hudson σέθωσει L *sedhosi* Lat *ad Sethosim* Eus. chron. Σέθῳ coni. 7 ὁ ἀδελφὸς αὐτοῦ] *ei suus frater* Lat *frater ipsius contra eum* Euseb αὐτοῦ] αὐτῷ coni. 9 λέγει] λόγος uel λέγεται Gutschmid 10 Σέθως] σέθωσις ed. pr. 12 incip. Euseb. praep. μανεθὼν LLat δ' Euseb 14 δὲ] Eus, om. LLat τρισὶ — τριακοσίοις] τριακοσίων δεκατριῶν Theoph. 16 ἀρχαιότατον] *antiquiorem* Eus. chron. 17 μανεθὼν LLat 18 παρ'] παρὰ τοῖς Eus 19 ἀρχαίαν] Lat Eus ἀρχαῖον L 20 που προτερεῖν] Lat Euseb. τοῦ πρότερον L που προτέραν ed. pr. 21 χιλίοις] χ΄ Unger Chronol. des Manetho p. 172 χιλίοις fin. Eus. praep. et Theophil. μανεθὼν LLat 22 γραμμάτων] ed. pr. πραγμάτων L *litteris* Lat *libris* Euseb 23 ἐξελέγξω fin. Eus. chron. 25 incip. Euseb. chron. p. 113, Cramer anecd. ἤδη] Eus. ἔτι L *rursus* Lat

τοῖς Φοίνιξιν ἀναγεγραμμένα περὶ τοῦ γένους ἡμῶν καὶ τὰς ἐξ ἐκεί-
νων μαρτυρίας παρασχεῖν. ἔστι τοίνυν παρὰ Τυρίοις ἀπὸ παμπόλ- 107
λων ἐτῶν γράμματα δημοσίᾳ γεγραμμένα καὶ πεφυλαγμένα λίαν ἐπι-
μελῶς περὶ τῶν παρ᾽ αὐτοῖς γενομένων καὶ πρὸς ἀλλήλους πρα-
χθέντων μνήμης ἀξίων. ἐν οἷς γέγραπται, ὅτι ὁ ἐν Ἱεροσολύμοις 108
ᾠκοδομήθη ναὸς ὑπὸ Σολομῶνος τοῦ βασιλέως ἔτεσι θᾶττον ἑκατὸν
τεσσαρακοντατρισὶν καὶ μησὶν ὀκτὼ τοῦ κτίσαι Τυρίους Καρχη-
δόνα. ἀνεγράφη δὲ παρ᾽ ἐκείνοις οὐκ ἀλόγως ἡ τοῦ ναοῦ κατα- 109
σκευὴ τοῦ παρ᾽ ἡμῖν· Εἴρωμος γὰρ ὁ τῶν Τυρίων βασιλεὺς φίλος
ἦν τοῦ βασιλέως ἡμῶν Σολομῶνος πατρικὴν πρὸς αὐτὸν φιλίαν
διαδεδεγμένος. οὗτος οὖν συμφιλοτιμούμενος εἰς τὴν τοῦ κατα- 110
σκευάσματος τῷ Σολομῶνι λαμπρότητα χρυσίου μὲν εἴκοσι καὶ ἑκα-
τὸν ἔδωκε τάλαντα, τεμὼν δὲ καλλίστην ὕλην ἐκ τοῦ ὄρους, ὃ κα-
λεῖται Λίβανος, εἰς τὸν ὄροφον ἀπέστειλεν. ἀντεδωρήσατο δὲ αὐτῷ
ὁ Σολομὼν ἄλλοις τε πολλοῖς καὶ δὴ καὶ χώραν τῆς Γαλιλαίας ἐν
τῇ Χαβουλῶν λεγομένῃ. μάλιστα δὲ αὐτοὺς εἰς φιλίαν ἡ τῆς σο- 111
φίας συνῆγεν ἐπιθυμία· προβλήματα γὰρ ἀλλήλοις ἀνταπέστελλον

LLat Theophilus ad Autol. III 22, Eusebius chron. I p. 113 Schöne. Cramer anecdota Par. II 184. Syncellus I p. 343 Bonn.

1 ἐξ] ἐπ᾽ Eusebii exc. graeca 2 ἔστι incip. Syncellus ἀπὸ παμπόλλων] πολλῶν LLat 3 δημοσίᾳ] Sync. δημόσια L et Eus. exc. graeca *regia* Eus. Arm. γεγραμμένα] καὶ γραφέντα Eus. exc. gr. γραφέντα Sync. 4 περὶ — 5 ἀξίων om. Sync. πρὸς ἀλλήλους] LLat παρ᾽ ἄλλοις Eus. πρὸς ἄλλους Gutschmid recte ut uid. 5 οἷς] τούτοις LLat ὁ] Eus., om. L 6 ἀπὸ Eus. exc. gr. Σολόμωνος Sync. σολομῶντος L ἑκατὸν τεσσαρακοντατριῶν L ρμ΄ καὶ τρισὶν Eus. exc. gr. ρμγ΄ Sync.; eundem numerum tradit Eus. praep. euang. X 13. 13, sed ἔτεσιν ἑκατὸν τριάκοντα τέσσαρσιν μησὶν ὀκτώ Theoph. 7 Καρχηδόνα] Euseb. χαλκηδόνα L *carthaginem charcedona* Lat 8 ἐκείνοις] αὐτοῖς Eus. exc. gr. ἐκείνου Sync. οὐκ ἀλόγως] Eus., om. LLat ἡ — 9 ἡμῖν om. Eus. exc. gr. 9 Εἴρωμος] Σίρωμος Sync. 10 Σολόμωνος Sync. φιλίαν πρὸς αὐτὸν tr. Eus. gr. 11 διαδεξάμενος Sync. οὗτος] Euseb. αὐτὸς L *is* Lat 12 χρυσοῦ Eus. exc. gr. 13 τεμὼν — ὕλην] καὶ ὕλην δὲ καλλίστην τεμὼν Eus. exc. gr., fort. recte 14 εἰς — ἀπέστειλεν] *ad cameram destinauit* Lat εἰς τὴν οἰκοδομὴν ἀπέστειλε τοῦ ὀρόφου Eus. exc. gr. *ad tecta aedificii mittens* Eus. Arm. 15 ὁ om. Eus. exc. gr. καὶ δὴ καὶ] coni καὶ γῆ κατὰ L καὶ δῆτα (διττὰ Sync.) καὶ Eus χώραν] *locos aliquos* Eus. Arm. χώρᾳ Gutschmid ἐν — 16 λεγομένῃ] ἔδωκεν τὴν Χαβουλὼν λεγομένην coni 16 Χαβουλὼν] Bochart ζαβουλὼν LLat Χαβωλὼ Euseb. exc. Χαβόλῳ Sync. *Khabula* Euseb. arm. χαβαλὼν et χαβωλὼν libri Antiq. VIII 142 uit. 211 cf. bell. Iud. II 18. 9, III 3. 1 post λεγομένῃ add. ἐπιδέδωκε Eus exc. gr. ὁ᾽ Eus ἡ] Euseb., om. L 17 συνήγαγεν Sync. ἀνταπέστελλον] Euseb. exc. ἀντεπέστελλον L ἀντέστελλον Sync.

λύειν κελεύοντες, καὶ κρείττων ἐν τούτοις ἦν ὁ Σολομὼν καὶ τἆλλα
σοφώτερος. σώζονται δὲ μέχρι νῦν παρὰ τοῖς Τυρίοις πολλαὶ τῶν
112 *ἐπιστολῶν, ἃς ἐκεῖνοι πρὸς ἀλλήλους ἔγραψαν. ὅτι δ' οὐ λόγος*
ἐστὶν ὑπ' ἐμοῦ συγκείμενος ὁ περὶ τῶν παρὰ τοῖς Τυρίοις γραμ-
μάτων, παραθήσομαι μάρτυρα Δῖον ἄνδρα περὶ τὴν Φοινικικὴν
ἱστορίαν ἀκριβῆ γεγονέναι πεπιστευμένον. οὗτος τοίνυν ἐν ταῖς
113 *περὶ Φοινίκων ἱστορίαις γράφει τὸν τρόπον τοῦτον· „Ἀβιβάλου*
τελευτήσαντος ὁ υἱὸς αὐτοῦ Εἴρωμος ἐβασίλευσεν. οὗτος τὰ πρὸς
ἀνατολὰς μέρη τῆς πόλεως προσέχωσεν καὶ μεῖζον τὸ ἄστυ ἐποίη-
σεν καὶ τοῦ Ὀλυμπίου Διὸς τὸ ἱερὸν καθ' ἑαυτὸ ὂν ἐν νήσῳ χώσας
τὸν μεταξὺ τόπον συνῆψε τῇ πόλει καὶ χρυσοῖς ἀναθήμασιν ἐκό-
σμησεν, ἀναβὰς δὲ εἰς τὸν Λίβανον ὑλοτόμησεν πρὸς τὴν τῶν
114 *ἱερῶν κατασκευήν. τὸν δὲ τυραννοῦντα Ἱεροσολύμων Σολομῶνα*
πέμψαι φασὶ πρὸς τὸν Εἴρωμον αἰνίγματα καὶ παρ' αὐτοῦ λαβεῖν
ἀξιοῦν, τὸν δὲ μὴ δυνηθέντα διακρῖναι τῷ λύσαντι χρήματα ἀπο-
115 *τίνειν. ὁμολογήσαντα δὲ τὸν Εἴρωμον καὶ μὴ δυνηθέντα λῦσαι τὰ*
αἰνίγματα πολλὰ τῶν χρημάτων εἰς τὸ ἐπιζήμιον ἀναλῶσαι. εἶτα
δὲ Ἀβδήμουνόν τινα Τύριον ἄνδρα τά τε προτεθέντα λῦσαι καὶ
αὐτὸν ἄλλα προβαλεῖν, ἃ μὴ λύσαντα τὸν Σολομῶνα πολλὰ τῷ Εἰ-
ρώμῳ προσαποτῖσαι χρήματα.“ Δῖος μὲν οὕτω περὶ τῶν προειρη-
μένων ἡμῖν μεμαρτύρηκεν.

LLat Theophilus ad Autol. III 22. Eusebius chron. I p. 115, Schöne. Cramer anecd. Par. II 185. Syncellus p. 343 Bonn. Antiq. Iud. VIII 147 sq.

1 ἦν ἐν τούτοις tr. Eus. exc. gr. ὢν post Σολομὼν addendum τἆ ἄλλα Eus. 2 σώζονται L νῦν] δεῦρο Eus τοῖς om. Eus. exc. gr. 3 ἀλλήλους] Τυρίους Eus. exc. gr. ἔγραφον Sync. δὲ Eus 4 ὑπ' ἐμοῦ συγκείμενος] ὑπ' ἐκείμενος L τῶν παρὰ τοῖς] τὸν ἐν Eus. exc. gr. τοῖσ s. L 5 Δῖον] δεξιὸν Eus. *dionem* Lat Φοινικικὴν] Sync. φοινικὴν LLat et Eus. exc. gr. 6 Δῖον (Δίωνα Sync.) post πεπιστευμένον add. Eus. 7 Dii uerba etiam Antiq. VIII 147 sqq. extant 8 ὁ om. Eus Σίρωμος Sync. 9 ἐποίησε] Euseb. Antiq. πεποίηκεν L 10 ὂν ἐν νήσῳ om. Antiq. νήσῳ] L Eus. Arm. ἴσῳ Eus. exc. graec. Sync. et ut uid. Lat ἐγχώσας Antiq. 13 ἱερῶν] Eus. Antiq. ναῶν L 14 φασὶ πέμψαι tr. Eus. exc. gr. τὸν om. Antiq. εἴρωμον L¹ Ἴρωμον Eus. exc. gr. Σίρωμον Sync. 15 λύσιν post ἀξιοῦν add. Lat Eus. exc. gr., ante παρ' u. 14 Antiq. codd. ROLat ἀποτινύειν Eus. exc. gr. ἀποτείνειν Sync. 16 Ἴρωμον Eus. exc. gr. Σίρωμον Sync. καὶ om. Lat ut uid. 18 δὲ] Eus. exc. gr. Ant. δὴ L δι' Sync., om. Lat *abdemonum* Lat Ἀβδάμονον (ἀβδάμωνον exc. gr.) Euseb. Ἀβδήμονα Antiq. Τύριον ἄνδρα] *uirum sagacem* Eus. Arm. τε] Euseb., om. L Antiq. et ut uid. Lat 19 ἄλλα] ἅμα Euseb. exc. gr. *simul alia* Euseb. Arm. Ἰρώμῳ Eus. exc. gr. Σιρώμῳ Sync. 20 Δίων Sync. Lat μὲν] *igitur* Lat μὲν οὖν Eus. exc. gr. οὕτως Sync.

18. Ἀλλὰ πρὸς τούτῳ παραθήσομαι καὶ Μένανδρον τὸν Ἐφέ- 116
σιον. γέγραφεν δὲ οὗτος τὰς ἐφ' ἑκάστου τῶν βασιλέων πρά-
ξεις τὰς παρὰ τοῖς Ἕλλησι καὶ βαρβάροις γενομένας ἐκ τῶν παρ'
ἑκάστοις ἐπιχωρίων γραμμάτων σπουδάσας τὴν ἱστορίαν μαθεῖν.
γράφων τοίνυν περὶ τῶν ἐν Τύρῳ βεβασιλευκότων ἔπειτα γενό- 117
μενος κατὰ τὸν Εἴρωμον ταῦτά φησι· „τελευτήσαντος δὲ Ἀβιβά-
λου διεδέξατο τὴν βασιλείαν αὐτοῦ ὁ υἱὸς Εἴρωμος, ὃς βιώσας
ἔτη νγ' ἐβασίλευσεν ἔτη λδ'. οὗτος ἔχωσε τὸν Εὐρύχωρον τόν 118
τε χρυσοῦν κίονα τὸν ἐν τοῖς τοῦ Διὸς ἀνέθηκεν, ἐπί τε ὕλην
ξύλων ἀπελθὼν ἔκοψεν ἀπὸ τοῦ λεγομένου Λιβάνου ὄρους κέδρινα
ξύλα εἰς τὰς τῶν ἱερῶν στέγας, καθελών τε τὰ ἀρχαῖα ἱερὰ καὶ
ναοὺς ᾠκοδόμησεν τό τε τοῦ Ἡρακλέους καὶ τῆς Ἀστάρτης, πρῶ- 119
τόν τε τοῦ Ἡρακλέους ἔγερσιν ἐποιήσατο ἐν τῷ Περιτίῳ μηνί, τοῖς
τε Ἰτυκαίοις ἐπεστρατεύσατο μὴ ἀποδιδοῦσι τοὺς φόρους· οὓς καὶ
ὑποτάξας ἑαυτῷ πάλιν ἀνέστρεψεν. ἐπὶ τούτου ἦν Ἀβδήμουνος 120

LLat Theophilus ad Autol. III 22. Eusebius chron. I p. 117 Schöne. Cramer anecd. Par. II 185, Syncellus p. 344 Bonn. Antiq. Iud. VIII 144 sq.

1 τοῦτο Sync. παραθήσομεν Sync. καί] LatEus, om. L 2 δ' Eus 3 τὰς] Eus, om. L γεγενημένας Eus. exc. gr. ἐκ τῶν — 6 φησι breuiat Sync. ἑκάστοις] Eus. Lat ἐκείνοις L 4 γραμμάτων] πραγμάτων Eus. exc. gr. 5 τοίνυν] Eus. exc. gr. δὴ L *enim* Lat ἐν Τύρῳ βεβασιλευκότων] Eus. exc. gr. βεβασιλευκότων ἐν τύρῳ L 6 Ἴρωμον Eus. exc. gr. abhinc excerpsit modo breuius modo uberius Theophilus Menandri uerba extant etiam Antiq. VIII 144 sqq. δὲ om. Eus. exc. gr. Ἀβειβάλου Theoph. 7 αὐτοῦ ὁ υἱὸς] ὁ υἱὸς αὐτοῦ L Sync. αὐτοῦ ὁ υἱὸς αὐτοῦ Eus. exc. gr. παρ' αὐτοῦ υἱὸς Antiq. Ἴρωμος Eus. exc. gr. Σίρωμος Sync. Ἱέρωμος Theoph., cf. Ant. Iud. VII 66 ὃς om. L et ut uid. Lat νγ' — 8 ἔτη om. LLat 8 ἔτη om. Antiq. τριάκοντα τέσσαρα L τὸ Εὐρύχωρον Antiq. 9 τὸν om. Sync. ἐπί τε] Eus. *et ad* Lat ἔπειτα L ἔτι τε Antiq. 10 ἀπὸ τοῦ ὄρους τοῦ λεγομένου Λιβάνου Antiq. λεγομένου om. Sync. ὄρουσ λιβάνου tr. L κέδρινα ξύλα om. Antiq. 11 καθελὼν — 15 ἀνέστρεψεν om. Sync. καὶ ναοὺς — 13 ἐποιήσατο] *fanum aedificauit herculis fecit erectiorem* (*erectionem* ed. Bas.) Lat καὶ ναοὺς] ναὸν Eus. καὶ ναὸν Antiq. καινὰ coni. 12 τό τε] τόν τε Eus., om. Antiq. Ἀστάρτης] Eus. Ant. ἀστάρτησ τέμενοσ ἀνίερευσεν L πρῶτόν (πρῶτός Antiq.) τε τοῦ Ἡρακλέους ἔγερσιν] Eus. Antiq. καὶ τὸ μὲν τοῦ ἡρακλέουσ πρῶτον L; Lat cum Euseb. et Ant. consentit, nisi quod καὶ τῆς — Ἡρακλέους omisit 13 εἶτα τὸ τῆσ ἀστάρτησ post μηνί add. L τοῖς τε Ἰτυκαίοις] Gutschmid ὁπότε τιτυοῖσ L (*castra*)*que (mouit) aduersus titiceos* Lat τοῖς τε Τιτυαίοις (Τιτίοις Arm.) Euseb. τοῖς τε Ἰτυκέοισ Antiq. ὁπότε Τυρίοις Lowthius 14 ἐπεστράτευσεν L τὸν φόρον Eus. οὓς om. Antiq. 15 πάλιν ἑαυτῷ tr. L ἀντέστρεψεν Eus. exc. gr. τούτου] Sync. Ant. τούτων L τούτοις Eus. exc. gr. ἦν] Eus. et Ant. δέ τισ ἦν L Ἀβδήμουνος] L Sync. *abdemonus* Lat Ἀβδούμηνος Eus. exc. gr. *Abdemoni* (genet.) Euseb. Arm. Ἀβδήμονος Antiq.

παῖς νεώτερος, ὃς ἀεὶ ἐνίκα τὰ προβλήματα, ἃ ἐπέταττε Σολο-
121 μὼν ὁ Ἱεροσολύμων βασιλεύς.“ ψηφίζεται δὲ ὁ χρόνος ἀπὸ τούτου τοῦ βασιλέως ἄχρι Καρχηδόνος κτίσεως οὕτως· τελευτήσαντος Εἰρώμου διεδέξατο τὴν βασιλείαν Βαλβάζερος υἱός, ὃς βιώσας ἔτη
122 μγ′ ἐβασίλευσεν ἔτη ιζ′. μετὰ τοῦτον Ἀβδάσταρτος υἱὸς βιώσας ἔτη λϑ′ ἐβασίλευσεν ἔτη ϑ′. τοῦτον οἱ τῆς τροφοῦ αὐτοῦ υἱοὶ τέσσαρες ἐπιβουλεύσαντες ἀπώλεσαν, ὧν ὁ πρεσβύτερος ἐβασίλευσεν Μεθουσάσταρτος ὁ Λεαστάρτου, ὃς βιώσας ἔτη νδ′ ἐβασι-
123 λευσεν ἔτη ιβ′. μετὰ τοῦτον ὁ ἀδελφὸς αὐτοῦ Ἀσϑάρυμος βιώσας ἔτη νη′ ἐβασίλευσεν ἔτη ϑ′. οὗτος ἀπώλετο ὑπὸ τοῦ ἀδελφοῦ Φέλλητος, ὃς λαβὼν τὴν βασιλείαν ἦρξεν μῆνας η′ βιώσας ἔτη ν′. τοῦτον ἀνεῖλεν Εἰϑώβαλος ὁ τῆς Ἀστάρτης ἱερεύς, ὃς βιώσας ἔτη
124 μη′ ἐβασίλευσεν ἔτη λβ′. τοῦτον διεδέξατο Βαλέζωρος υἱός, ὃς

LLat Theophilus ad Autol. III 22. Eusebius chron. I p. 117 Schöne, Cramer Anecd. Paris. II 186. Syncellus p. 345.

1 *ἀεὶ* om. L *τὰ*] *λύων τὰ* Eus. exc. gr. *ἐπέτασσε* LSync. *σαλομὼν* L 2 *ὁ*] *οὗτος ὁ* Eus. exc. gr. *Erusalemitarum* Eus. Arm. 3 *ἄχρι*] *ἄχρι τῆς* L abhinc breuiat Sync. 4 *Ἱρώμου* Eus. exc. gr. *Βαλβάζερος*] *balbazerus* Lat *βαλεάζερος* L *Βααλβάζερος* Eus. Arm. et Sync. *Βααλζάβερ* Eus. exc. gr. *Βάζωρος* Theophil. *ὁ υἱὸς* L 5 *τεσσαρακοντατρία* L *ιζ′*] Eus. Arm. Sync. *ζ′* Eus. exc. gr. *ἑπτά* L *VII* Lat *Ἀβδάσταρτος* — 7 *ἐβασίλευσεν* om. Theophil. *ἀβδάστρατος* L fort. recte *abdatratus* Lat *υἱὸς*] *υἱὸς ὃς* Eus. exc. gr. Sync. *ὁ αὐτοῦ υἱὸς* L *filius* Lat *eiusdem filius qui* Eus. Arm. 6 *λϑ′*] *εἰκοσιεννέα* L *XX* Lat *ϑ′*] *ἐννέα* L *υἱοὶ τέσσαρες*] *δ′ υἱοὶ* Eus. exc. gr. *τρεῖς παῖδες* Sync. 7 *πρεσβύτατος* coni. *ἐβασίλευσεν*] Lat Eus. *ἐβασίλευσεν ἔτη δεκαδύο* L 8 *Μεθουσάσταρτος*] *metusastartus* Lat *μεϑ᾽ οὗσ ἄσταρτος* L *Μεθουάσταρτος* Theophil. *μεϑ᾽ ὃν Ἄσταρτος* Eus *ὁ Λεαστάρτου*] *leastrati* Lat *ὁ δελαιαστάρτου* L *Ἐλεαστάρτου* (*Ἐλεστάρτος* exc. gr.) Eus. *νδ′*] *πεντηκοντατέσσαρα* L *XLIII* Lat 9 *ἔτη* om. Eus. *δώδεκα* L *ὁ — Ἀσϑάρυμος*] *ὁ ἀδελφὸς αὐτοῦ ἀσέρυμος* L *frater eius astirimus* Lat *Ἀσϑάρυμος ὁ ἀδελφὸς αὐτοῦ ὃς* Eus. exc. gr. et ut uid. Sync. *frater eiusdem Astharimus, qui* Eus. Arm. *ὁ ἀδελφὸς αὐτοῦ Ἀϑάρυμος* Theoph. 10. *νη′*] Eus. Theophil. *τέσσαρα καὶ πεντήκοντα* L *LIIII* Lat *ἔτη* om. Eus. exc. gr. *ἐννέα* L 11 *Φέλλητος*] *pellete* Lat *Phelite* Eus. Arm. *Ἔλλης* (nominat.) Theoph. *η′*] *ὀκτὼ* L *ιη′* Eus. exc. gr. *ν′*] *πεντήκοντα* L *X* Eus. Arm. 12 *Εἰϑώβαλος*] *Ἰϑόβαλος* Eus. exc. gr. *Εἰϑόβαλος* Sync. *Itholbalus* Eus. Arm. *Ἰουϑώβαλος* Theoph. *Ἀστάρτου* Eus. exc. gr. *Astartiarum* Lat *ἱερεὺς*] *βασιλεύς* Eus *ὃς* — 13 *λβ′*] Eus. exc. gr. et Sync. *qui regnauit annos XXXII uixitque annos XLIII* Eus. Arm. *ὃς βιώσας ἔτη μ′ ἐβασίλευσεν ἔτη ιβ′* Theoph. *qui cum uixisset annis XLVIII regnauit annis XXXII* Lat *ὃσ βασιλεύσασ ἔτη τριακονταδύο ἐβίωσεν ἔτη ἑξηκονταοκτώ* L 13 *Βαλέζωρος*] Eus. Arm. *Βαλίζωρος* Eus. exc. gr. *Βαλέζερος* Sync. *βαδέζωροσ* L *badezodus* Lat *Βαλέζωρος υἱὸς*] *ὁ υἱὸς αὐτοῦ Βάζωρος* Theoph. *ὁ υἱὸς* Eus. exc. gr.

βιώσας ἔτη με΄ ἐβασίλευσεν ἔτη ξξ. τούτου διάδοχος γέγονε Μέτ- 125
τηνος υἱός, ὃς βιώσας ἔτη λβ΄ ἐβασίλευσεν ἔτη κϑ΄. τούτου διά-
δοχος γέγονεν Πυγμαλίων, ὃς βιώσας ἔτη νη΄ ἐβασίλευσεν ἔτη μζ΄.
ἐν δὲ τῷ ἐπ᾽ αὐτοῦ ἑβδόμῳ ἔτει ἡ ἀδελφὴ αὐτοῦ φυγοῦσα ἐν τῇ
Λιβύῃ πόλιν ᾠκοδόμησεν Καρχηδόνα. συνάγεται πᾶς ὁ χρόνος ἀπὸ 126
τῆς Εἰρώμου βασιλείας μέχρι Καρχηδόνος κτίσεως ἔτη ρνε΄ μῆνες η΄.
ἐπεὶ δὲ δωδεκάτῳ ἔτει τῆς αὐτοῦ βασιλείας ὁ ἐν Ἱεροσολύμοις ᾠκο-
δομήθη ναός, γέγονεν ἀπὸ τῆς οἰκοδομήσεως τοῦ ναοῦ μέχρι Καρ-
χηδόνος κτίσεως ἔτη ρμγ΄ μῆνες η΄. τῆς μὲν οὖν παρὰ Φοινίκων 127
μαρτυρίας τί δεῖ προσθεῖναι πλέον; βλέπεται γὰρ τἀληθὲς ἰσχυρῶς
ὁμολογημένον καὶ πολὺ δήπου προάγειν τῆς τοῦ νεὼ κατασκευῆς
τὴν τῶν προγόνων ἡμῶν εἰς τὴν χώραν ἄφιξιν· ὅτε γὰρ αὐτὴν πᾶσαν
πολέμῳ παρέλαβον, τότε τὸν νεὼν κατεσκεύασαν. καὶ ταῦτα σαφῶς
ἐκ τῶν ἱερῶν γραμμάτων ὑπ᾽ ἐμοῦ δεδήλωται διὰ τῆς ἀρχαιολογίας.
19. *Λέξω δὲ νῦν ἤδη τὰ παρὰ Χαλδαίοις ἀναγεγραμμένα καὶ* 128

LLat Theophilus ad Autol. III 22. Eusebius chron. I pp. 113, 43 Schöne, Cramer Anecd. Paris. II 186. Syncellus p. 345.

1 *τεσσαρακονταπέντε* L ἔτη om. Eus. exc. gr., ξξ] *η΄* (*ιη΄* exc. gr.) Eus. *ζ΄* Theoph. *Μέττηνος*] Theoph. *mettinus* Lat *Μέτηνος* Eus. Arm. exc. gr. *Μέτινος* Sync. *μάττηνοσ* L, unde errore librarii *μάτγηνος* ed. pr. 2 *ὁ υἱὸσ* L *τριακονταδύο* L ἔτη om. Eus. exc. gr. *κϑ΄*] Theoph. Eus. Arm. *κε΄* Eus. exc. Sync. *ἐννέα* L *VIIII* Lat 3 *γέγονεν* om. Eus. exc. gr. *Πυγμαλίων*] *pigmalion* Lat *φυσμαλίου* L *Physmanon* Eus. Arm. *Μυγδαλίων Φυσμαλίωνος* Eus. exc. gr. *Μυγδαλίων Φυσμανοῦν* Sync. *ἐν Πυγμαλίων Φυγμαλίου* (*Φυγμαλιουμ* cod. Ven.) Theophil. *φυγμαλίων* ed. pr. *ὃς βιώσας*] *βιώσασ* L *βιώσας δ΄* ed. pr. *ὃς βιώσας — μζ΄*] *qui annos egit in sua uita L sex, ex quibus XL tenuit principatum* Lat *νη΄*] *νς΄* L ἔτη om. Eus. exc. gr. *μζ΄*] *ζ΄* Theoph. 4 *ἐν — ἔτει*] *ἐν δὲ τῷ ἔτει αὐτοῦ ἑβδόμῳ, ἐπεὶ* Gutschmid *ἐπ᾽ αὐτῷ* Eus. exc. gr. *φυγοῦσα*] *dido* Lat *ἐν τῇ Λιβύῃ*] *in Libaeorum terram* Eus. Arm. *εἰς Λιβύην* Theoph. 5 *συνάγεται*] *colligitur ergo* Lat *συνάγεται δὲ* Eus. exc. gr. *συνάγεται οὖν* Theoph. *συνάγεται δὴ* ed. pr. *ἀπὸ*] *ἐκ* Eus. exc. gr. 6 *Ἰρώμου* Eus. exc. gr. *Σιρώμου* Sync. *Ἱερώμου* Theophil. *μέχρι*] Eus. exc. gr. Theoph. *ἄχρι* L *η΄*] *ιη΄* Eus. exc. gr. 7 *αὐτοῦ*] Lat Eus. *εἰρώμου* L *Ἱερώμου* Theoph. *ὁ* om. L et ut uid. Lat 8 *ναός*] Eus. *ὁ ναόσ* L et ut uid. Lat *μέχρι*] Eus. exc. gr. Theoph. *ἄχρι* L 9 *κτίσεως Καρχηδόνος* tr. Eus. exc. gr. *ρμγ΄*] *ρλγ΄* Theophil., ut supra § 108 *η΄*] *ιη΄* Eus. exc. gr. huc usque excerpunt Theophil. et Sync. *τὴν* Eus. exc. gr. 10 *μαρτυρίαν* Eus. exc. gr. *δεῖ*] *δὴ* Eus. exc. gr. *προστιθέναι* Eus. exc. gr. *πλέον*] Eus. exc. gr. *πλείω* L *amplius* Lat Eus. Arm. *βλέπετε* L *βλέπεται* — 11 *ὁμολογημένον* om. Eus. Arm. 11 *καὶ πολὺ — προάγειν*] *et multo clarius apparet quoniam praecedit* Lat *καὶ*] *κατὰ* Gutschmid *προάγειν*] Eus. exc. gr. *προάγει* L Eus. Arm. *ναοῦ* Eus. exc. gr. 12 *τὴν*] *ἡ* L Eus. Arm. *τὴν χώραν*] *τὸν τόπον* Eus. exc. gr. *ἄφιξισ* L Eus. Arm. *ὅτε* — 13 *κατεσκεύασαν* om. Eus. exc. gr. 14 *ἀρχαιολογίας*] fin. Euseb. chron. p. 119 et exc. gr. 15 incip. Euseb. chron. p. 43; breuiter excerpit Theophilus ad Autol.

ἱστορούμενα περὶ ἡμῶν, ἅπερ ἔχει πολλὴν ὁμολογίαν καὶ περὶ τῶν
129 ἄλλων τοῖς ἡμετέροις γράμμασι. μάρτυς δὲ τούτων Βηρῶσος ἀνὴρ
Χαλδαῖος μὲν τὸ γένος, γνώριμος δὲ τοῖς περὶ παιδείαν ἀναστρε-
φομένοις, ἐπειδὴ περί τε ἀστρονομίας καὶ περὶ τῶν παρὰ Χαλ-
δαίοις φιλοσοφουμένων αὐτὸς εἰς τοὺς Ἕλληνας ἐξήνεγκε τὰς συγ-
130 γραφάς. οὗτος τοίνυν ὁ Βηρῶσος ταῖς ἀρχαιοτάταις ἐπακολουθῶν
ἀναγραφαῖς περί τε τοῦ γενομένου κατακλυσμοῦ καὶ τῆς ἐν αὐτῷ
φθορᾶς τῶν ἀνθρώπων καθάπερ Μωσῆς οὕτως ἱστόρηκεν καὶ περὶ
τῆς λάρνακος, ἐν ᾗ Νῶχος ὁ τοῦ γένους ἡμῶν ἀρχηγὸς διεσώθη
131 προσενεχθείσης αὐτῆς ταῖς ἀκρωρείαις τῶν Ἀρμενίων ὀρῶν. εἶτα
τοὺς ἀπὸ Νώχου καταλέγων καὶ τοὺς χρόνους αὐτοῖς προστιθεὶς
ἐπὶ Ναβοπαλάσσαρον παραγίνεται τὸν Βαβυλῶνος καὶ Χαλδαίων
132 βασιλέα καὶ τὰς τούτου πράξεις ἀφηγούμενος λέγει, τίνα τρόπον
πέμψας ἐπὶ τὴν Αἴγυπτον καὶ ἐπὶ τὴν ἡμετέραν γῆν τὸν υἱὸν τὸν
ἑαυτοῦ Ναβοκοδρόσορον μετὰ πολλῆς δυνάμεως, ἐπειδήπερ ἀφεστῶ-
τας αὐτοὺς ἐπύθετο, πάντων ἐκράτησεν καὶ τὸν ναὸν ἐνέπρησε τὸν
ἐν Ἱεροσολύμοις ὅλως τε πάντα τὸν παρ' ἡμῶν λαὸν ἀναστήσας
εἰς Βαβυλῶνα μετῴκισεν, συνέβη δὲ καὶ τὴν πόλιν ἐρημωθῆναι
133 χρόνον ἐτῶν ἑβδομήκοντα μέχρι Κύρου τοῦ Περσῶν βασιλέως. κρα-
τῆσαι δέ φησι τὸν Βαβυλώνιον Αἰγύπτου Συρίας Φοινίκης Ἀρα-
βίας πάντας ὑπερβαλόμενον ταῖς πράξεσι τοὺς πρὸ αὐτοῦ Χαλ-
134 δαίων καὶ Βαβυλωνίων βεβασιλευκότας. [εἶθ' ἑξῆς ὑποκαταβὰς
ὀλίγον ὁ Βηρῶσος πάλιν παρατίθεται ἐν τῇ τῆς ἀρχαιότητος ἱστο-
ριογραφίᾳ.] αὐτὰ δὲ παραθήσομαι τὰ τοῦ Βηρώσου τοῦτον ἔχοντα

LLat Eusebius chron. I p. 43 Schöne. Cramer anecdota gr. II 187. Theophilus ad Autolyc. III 29.

1. *περὶ ἡμῶν*] *de nobis singulatim* Euseb. Arm. 2 *βηρωσσὸς* ed. pr. hic et infra 3 *τοῖς*] *inter omnes qui* (h. e. *πᾶσι τοῖς*) Eus. Arm. 8 *μωυσῆς* ed. pr. 9 *Νῶχος* om. Lat 11 *Νώχου*] *noe* Lat *αὐτοῖς*] *eorum* Lat *eorundem* Eus. Arm. 12 *Ναβοπαλάσσαρον*] *Nabupalsarum* Eus. Arm. *ναβολάσσαρον* LLat *Ἀβοβάσσαρον* Theophili libri *babyloniorum* Lat 15 *Ναβοκοδρόσορον*] *Nabukodrosorum* Eus. Arm. *ναβουχοδονοσὸρ* LLat et Theophil. *μετὰ — δυνάμεως*] *multis cum copiis ac latissimis castris* Eus. Arm. 16 *ἐπύθετο*] Lambertus Bos *ὑπέθετο* L *inuenisset* Lat *nuntius ei perlatus est* Euseb. Arm. *ὃς* ante *καὶ* inserit Gutschmid *ἐνέπρησε*] *incensum diruit* Euseb. Arm. 18 *Βαβυλῶνα*] *terram Babeloniorum* Euseb. Arm. *μετῴκισεν*] ed. pr. *μετώκησεν* L *τὴν πόλιν ἐρημωθῆναι*] *urbi ut desolaretur templo ut destrueretur* Euseb. Arm. 19 *τοῦ — βασιλέως*] *primum Persarum regem* Euseb. Arm. 21 *πάντας*] Lat et ut uid. Eus. *πάντασ δὲ* L *πάντας δὴ* Gutschmid *ὑπερβαλλόμενον* ed. pr. *αὐτοῦ*] ed. pr. *αὐτῶν* L 22 *εἶθ'* — 24 *ἱστοριογραφίᾳ* om. Lat. Euseb. recte; sunt enim lectoris alicuius uerba, qui adnotauit infra Berosum iterum apponi 24 *Βηρώσσου* Sync.

τὸν τρόπον· „ἀκούσας δ' ὁ πατὴρ αὐτοῦ Ναβοπαλάσαρος, ὅτι ὁ 135
τεταγμένος σατράπης ἔν τε Αἰγύπτῳ καὶ τοῖς περὶ τὴν Συρίαν
τὴν κοίλην καὶ τὴν Φοινίκην τόποις ἀποστάτης γέγονεν, οὐ δυνά-
μενος αὐτὸς ἔτι κακοπαθεῖν συστήσας τῷ υἱῷ Ναβοκοδροσόρῳ ὄντι
ἔτι ἐν ἡλικίᾳ μέρη τινὰ τῆς δυνάμεως ἐξέπεμψεν ἐπ' αὐτόν. συμ- 136
μίξας δὲ Ναβοκοδρόσορος τῷ ἀποστάτῃ καὶ παραταξάμενος αὐτοῦ
τ' ἐκράτει καὶ τὴν χώραν ἐξ ἀρχῆς ὑπὸ τὴν αὐτῶν βασιλείαν ἐποιή-
σατο. τῷ τε πατρὶ αὐτοῦ συνέβη Ναβοπαλασάρῳ κατὰ τοῦτον
τὸν καιρὸν ἀρρωστήσαντι ἐν τῇ Βαβυλωνίων πόλει μεταλλάξαι τὸν
βίον ἔτη βεβασιλευκότι κα'. αἰσθόμενος δὲ μετ' οὐ πολὺ τὴν τοῦ 137
πατρὸς τελευτὴν Ναβοκοδρόσορος, καταστήσας τὰ κατὰ τὴν Αἴ-
γυπτον πράγματα καὶ τὴν λοιπὴν χώραν καὶ τοὺς αἰχμαλώτους Ἰου-
δαίων τε καὶ Φοινίκων καὶ Σύρων καὶ τῶν κατὰ τὴν Αἴγυπτον
ἐθνῶν συντάξας τισὶ τῶν φίλων μετὰ τῆς βαρυτάτης δυνάμεως καὶ
τῆς λοιπῆς ὠφελείας ἀνακομίζειν εἰς τὴν Βαβυλωνίαν, αὐτὸς ὁρμή- 138
σας ὀλιγοστὸς παρεγένετο διὰ τῆς ἐρήμου εἰς Βαβυλῶνα. κατα-
λαβὼν δὲ τὰ πράγματα διοικούμενα ὑπὸ Χαλδαίων καὶ διατηρου-

LLat Antiq. Iud. X 219. Eusebius chron. I p. 45, praep. euang. IX 40, Syncellus p. 416.

1 *ἀκούσας*] incip. Sync. et Ant. Iud. *δὲ* Sync. *Ναβοπαλάσαρος*] Sync. *Nabupalsarus* Eus. Arm. *ναβολάσσαρος* LLat *Ναβουχοδονόσορος* Ant. *ὁ* om. Sync. 2 *τε*] *τῇ* Antiq. *τὴν* om. Sync. 3 *ἀποστάτης*] *ἀποστάτης αὐτοῦ* Ant. 4 *ἔτι* om. Ant. Lat *Ναβοκοδροσόρῳ*] Sync. *Nabukodrosori* Eus. Arm. *ναβουχοδονοσόρω* LLat Ant. *ὄντι* — 5 *ἡλικίᾳ* om. Sync. 5 *ἔτι* om. Ant. *συμμίξας*] incip. Eus. praep. 6 *Ναβοκοδρόσορος*] *Nabukodrosorus* Eus. Arm. *Ναβουχοδονόσορ* Eus. praep. Lat *ναβουχοδονόσοροσ* L *καὶ παραταξάμενος* — 7 *τ' ἐκράτει καὶ* om. Lat 7 *τ' ἐκράτει*] *τε κρατεῖ* Sync. *uicitque* Eus. Arm. *τ' ἐκυρίευσε* L *τε ἐκυρίευσε* Euseb. praep. *τ' ἐκράτησε* Ant. *ἐξ ἀρχῆς*] *ἐξ αὐτῆς* Eus. praep. *ἐκ ταύτης τῆς ἀρχῆς* Ant. *αὐτῶν*] *αὐτοῦ* Ant. *ἐποιήσατο*] *ἐποίησεν* L 8 *τε*] *at* Eus. Arm. *uero* Lat *συνέβη Ναβοπαλασάρῳ*] *Ναβουχοδονοσόρῳ συνέβη* Ant. *Ναβοπαλασάρῳ*] Sync. *Nabupalsarus* Eus. Arm. *Ναβοπαλλασάρῳ* (*ναβοπαλασσάρω* cod. B) Eus. praep. *ναβολασσάρω* L *nobolassarum* Lat *κατὰ* — 9 *καιρὸν* om. Sync. *κατὰ τοῦτον*] *κατ' αὐτὸν* Ant. *ἐν* — *πόλει* om. Sync. 10 *βίον βασιλεύσαντι ἔτη κα'* Sync. *βεβασιλευκότα* Ant. et Eus. cod. J *κα'*] *εἰκοσιέν* Ant. *εἰκοσιεννέα* L *μετ' οὐ*] *μετὰ* Eus. Arm. *πολὺ*] *πολὺν χρόνον* Eus. Ant. 11 *Ναβουκοδρόσορος*] *ναβουχοδονόσοροσ* L Eus. praep. *ναβουχοδονόσορ* Eus. praep. cod. G *nabuchodonosor* Lat *Ναβουχοδονοσόρου* Ant. *καὶ καταστήσας* Ant. 13 *τε*] ed. pr. Euseb. Ant. *δὲ* L *καὶ* (ante *τῶν*) om. LLat Euseb. praep. Sync. *καὶ τῶν* — *ἐθνῶν*] *qui in aegypto fuerant* Lat *κατὰ τὴν*] *κατ'* Ant. 14 *μετὰ* — 16 *παρεγένετο* in breuius coëgit Eus. praep. finiens 16 *παρεγένετο* — *ἐρήμου*] *διὰ τῆς ἐρήμου παραγίνεται* Ant.

μένην τὴν βασιλείαν ὑπὸ τοῦ βελτίστου αὐτῶν, κυριεύσας ὁλοκλήρου τῆς πατρικῆς ἀρχῆς τοῖς μὲν αἰχμαλώτοις παραγενομένοις συνέταξεν [αὐτοῖς] κατοικίας ἐν τοῖς ἐπιτηδειοτάτοις τῆς Βαβυλωνίας τόποις
139 *ἀποδεῖξαι, αὐτὸς δὲ ἀπὸ τῶν ἐκ τοῦ πολέμου λαφύρων τό τε Βήλου ἱερὸν καὶ τὰ λοιπὰ κοσμήσας φιλοτίμως τήν τε ὑπάρχουσαν ἐξ ἀρχῆς πόλιν καὶ ἑτέραν ἔξωθεν προσχαρισάμενος καὶ ἀναγκάσας πρὸς τὸ μηκέτι δύνασθαι τοὺς πολιορκοῦντας τὸν ποταμὸν ἀναστρέφοντας ἐπὶ τὴν πόλιν κατασκευάζειν, περιεβάλετο τρεῖς μὲν τῆς ἔνδον πόλεως περιβόλους, τρεῖς δὲ τῆς ἔξω, τούτων δὲ τοὺς μὲν ἐξ ὀπτῆς πλίνθου καὶ ἀσφάλτου, τοὺς δὲ ἐξ αὐτῆς τῆς πλίν-*
140 *θου. καὶ τειχίσας ἀξιολόγως τὴν πόλιν καὶ τοὺς πυλῶνας κοσμήσας ἱεροπρεπῶς προσκατεσκεύασεν τοῖς πατρικοῖς βασιλείοις ἕτερα βασίλεια ἐχόμενα ἐκείνων, [ὑπὲρ] ὧν ἀνάστημα καὶ τὴν λοιπὴν*

LLat Antiq. Iud. X 223. Eusebius chron. I p. 45 Syncellus p. 417.

1 *τοῦ βελτίστου*] *optimatibus* Lat *ὁλοκλήρου*] Sync. *totius* Eus. Arm. Lat *ἐξ ὁλοκλήρου* L 2 *τοῖς μὲν — 4 ἀποδεῖξαι*] *captiuos autem in Babeloniorum terrae locis optimis collocari iussit* Eus. Arm., breuiauit Sync. *μὲν* om. Sync. *παραγενομένοις*] Lat Ant. *παραγενόμενος* L, om. Euseb *ἔταξε* Sync. 3 *αὐτοῖς*] L, om. Lat Ant. *τὰς* Sync. *αὐτόθι* Gutschmid *κατοικίας*] Sync. *ἀποικίας* L Ant. *habitacula* Lat 4 *δὲ*] *δ'* Ant. *δὲ ὁ Ναβουχοδονόσωρ* Sync. *ἀπὸ — πολέμου*] *ἐκ τῶν* Sync. *Βήλου*] *τοῦ Βήλου* Ant. 5 *φιλοτίμως κοσμήσας* tr. Sync. insequentibus dixit Berosus regem ueteri urbi nouam addidisse *τήν τε — 6 ἀναγκάσας*] *atque in ipsam urbem alias etiam aquas extrinsecus introduxit munivitque loca* Eus. Arm. 6 *ἑτέρα* Ant. *ἔξωθεν* om. Ant. *προσχαρισάμενος*] *adiciens* Lat *καταχαρισάμενος* Ant. *προσκαταχαρησάμενος* aut *προσκαταχρησάμενος* Sync. *προκαθιδρυσάμενος* ex Euseb. Gutschmid *ἀναγκάσας*] *cogitans* (*quatenus*) Lat *ἀνακαινίσας* codd. SP Ant. *ἀναχώσας* Gutschmid fortasse de eis operibus dixit Berosus, quae memorat Abydenus fr. 9 Euseb. praep. euang. IX 41, 7 7 *ἀναστρέψαντας* Ant. *ἀποστρέφοντας* Ernesti 8 *ἐπὶ — κατασκευάζειν*] *et ad ciuitatem accedere* Lat *κατασκευάζειν* ex *κατεσκεύαζεν* corruptum uid *περιεβάλετο*] ed. pr. Antiquitatum *ὑπερεβάλετο* L et Ant. codd. *ὑπερεβάλλετο* Sync. 9 *περιβόλους*] *porticus* Lat *τούτων — 11 πλίνθου*] *τούτων δὲ τῆς ὀπτῆς πλίνθου* Ant. *τούτων δὲ*] Ant. Sync. *τούτων* L *quorum* Lat *τοὺς μὲν*] Lat Eus. *τότε μὲν* L 12 *προσκατεσκεύασεν — 27, 1 πλὴν*] *superaedificauit in paternis regalibus alia quoque regalia celsitudinem illorum multo ualde praecedentia, quorum ornatum exponere ualde longissimum est; uerum tamen sciendum quoniam* Lat *aliamque regiam paternae regiae contiguam aedificans addidit, cuius mensuram et pulcritudinem uariique generis apparatum uix quisquam enarrare possit, sed hoc tantum, quod* Eus. Arm. *προκατεσκεύασεν* Sync. *προσκατεσκεύακεν* L *κατεσκεύασεν ἐν* Antiq. *ἐκείνων*] *αὐτῶν* Antiq. *ὑπὲρ ὧν*] Sync. *ἐπαίρων* L *ὑπεραίροντα* ed. pr. *ὧν* Antiq. recte *ἀνάστημα*] *τὸ μὲν ἀνάστημα* Sync. Antiq. *τἀνάστημα* Gutschmid *λοιπὴν*] Sync. Antiq. *πολλὴν* L

πολυτέλειαν μακρὸν ἴσως ἔσται ἐάν τις ἐξηγῆται, πλὴν ὄντα γε ὑπερβολὴν ὡς μεγάλα καὶ ὑπερήφανα συνετελέσθη ἡμέραις δεκαπέντε. ἐν δὲ τοῖς βασιλείοις τούτοις ἀναλήμματα λίθινα ὑψηλὰ 141
ἀνοικοδομήσας καὶ τὴν ὄψιν ἀποδοὺς ὁμοιοτάτην τοῖς ὄρεσι, καταφρυτεύσας δένδρεσι παντοδαποῖς ἐξειργάσατο καὶ κατεσκεύασε τὸν καλούμενον κρεμαστὸν παράδεισον διὰ τὸ τὴν γυναῖκα αὐτοῦ ἐπιθυμεῖν τῆς ὀρείας διαθέσεως τεθραμμένην ἐν τοῖς κατὰ τὴν Μηδίαν τόποις."

20. Ταῦτα μὲν οὕτως ἱστόρηκεν περὶ τοῦ προειρημένου βασι- 142
λέως καὶ πολλὰ πρὸς τούτοις ἐν τῇ τρίτῃ βίβλῳ τῶν Χαλδαϊκῶν, ἐν ᾗ μέμφεται τοῖς Ἑλληνικοῖς συγγραφεῦσιν ὡς μάτην οἰομένοις ὑπὸ Σεμιράμεως τῆς Ἀσσυρίας κτισθῆναι τὴν Βαβυλῶνα καὶ τὰ θαυμάσια κατασκευασθῆναι περὶ αὐτὴν ὑπ' ἐκείνης ἔργα ψευδῶς γεγραφόσι. καὶ κατὰ ταῦτα τὴν μὲν τῶν Χαλδαίων ἀναγραφὴν 143
ἀξιόπιστον ἡγητέον· οὐ μὴν ἀλλὰ κἀν τοῖς ἀρχείοις τῶν Φοινίκων σύμφωνα τοῖς ὑπὸ Βηρώσου λεγομένοις ἀναγέγραπται περὶ τοῦ τῶν Βαβυλωνίων βασιλέως, ὅτι καὶ τὴν Συρίαν καὶ τὴν Φοινίκην ἅπασαν ἐκεῖνος κατεστρέψατο. περὶ τούτων γοῦν συμφωνεῖ καὶ 144
Φιλόστρατος ἐν ταῖς ἱστορίαις μεμνημένος τῆς Τύρου πολιορκίας, καὶ Μεγασθένης ἐν τῇ τετάρτῃ τῶν Ἰνδικῶν, δι' ἧς ἀποφαίνειν πειρᾶται τὸν προειρημένον βασιλέα τῶν Βαβυλωνίων Ἡρακλέους ἀνδρείᾳ καὶ μεγέθει πράξεων διενηνοχέναι· καταστρέψασθαι γὰρ αὐτόν φησι καὶ Λιβύης τὴν πολλὴν καὶ Ἰβηρίαν. τὰ δὲ περὶ τοῦ 145
ναοῦ προειρημένα τοῦ ἐν Ἱεροσολύμοις, ὅτι κατεπρήσθη μὲν ὑπὸ τῶν Βαβυλωνίων ἐπιστρατευσάντων, ἤρξατο δὲ πάλιν ἀνοικοδομεῖσθαι Κύρου τῆς Ἀσίας τὴν βασιλείαν παρειληφότος, ἐκ τῶν Βηρώ-

---

LLat Antiq. Iud. X 225, Eusebius chron. I p. 47 Schöne. Syncellus pp. 417, 419.

1 *μακρὸν*] *μακρὰ δ'* L *μακρὸν — ἐξηγῆται*] *περισσὸν ἴσως ἂν εἴη λέγειν* Ant. *πλὴν*] *πλὴν ὡς* Ant. *γε* om. Sync. *γε ὑπερβολὴν* om. Antiq. 2 *ὑπερβολῇ* Sync. *ὡς*] om. Sync., fort. post *πλὴν* ponendum cum Antiq. *ιε'* Sync. 3 *ἀναλήμματα — ὑψηλὰ*] *turres lapideas cum statuis* Eus. Arm. *ὑψηλὰ* om. Antiq. recte ut uid. 4 *ἀνοικοδομήσας*] Sync. *ἀνωικοδομήσασ* L *aedificauit* Lat *ἀνῳκοδόμησε* Ant. *exstruxit* Eus. Arm., quod tamen in neutram partem ualet *καὶ* om. Antiq. 5 *δένδρεσι*] *δὲ δένδρεσι* Gutschmid et ego 7 *ὀρείας*] *huiusmodi* Lat *οἰκείας* Antiq. *ὡς* ante *τεθραμμένην* add. Antiq. *τὴν* om. Sync. *Μήδειαν* Sync. 8 huc usque Antiq. consentiunt 9 *ταῦτα* — 23 *Ἰβηρίαν* breuiat et mutat Sync. p. 418 sq. 15 *ἀλλὰ*] ed. pr. et ut uid. Eus. Arm. *ἅμα* L 17 *Συρίαν*] *Συρίαν καὶ Αἴγυπτον* Sync. 18 § 144 paullo amplior extat Antiq. X 227 sq. 20 *τετάρτῃ*] *δ'* Sync. *δευτέρᾳ* C. Müller fr. hist. Gr. II 399, cui adsentitur Gutschmid 23 *Ἰβηρίαν*] *Ἰβηρίας* Eus. Sync., fin. Sync. 24 *προειρημένου* uertit Euseb. Arm.

σου σαφῶς ἐπιδειχθήσεται παρατεθέντων· λέγει γὰρ οὕτως διὰ
146 τῆς τρίτης· „Ναβοκοδρόσορος μὲν οὖν μετὰ τὸ ἄρξασθαι τοῦ
προειρημένου τείχους ἐμπεσὼν εἰς ἀρρωστίαν μετήλλαξε τὸν βίον
βεβασιλευκὼς ἔτη μγ΄, τῆς δὲ βασιλείας κύριος ἐγένετο ὁ υἱὸς αὐτοῦ
147 Εὐειλμαράδουχος. οὗτος προστὰς τῶν πραγμάτων ἀνόμως καὶ ἀσελ-
γῶς ἐπιβουλευθεὶς ὑπὸ τοῦ τὴν ἀδελφὴν ἔχοντος αὐτοῦ Νηριγλι-
σάρου ἀνῃρέθη βασιλεύσας ἔτη β΄. μετὰ δὲ τὸ ἀναιρεθῆναι τοῦτον
διαδεξάμενος τὴν ἀρχὴν ὁ ἐπιβουλεύσας αὐτῷ Νηριγλίσαρος ἐβασί-
148 λευσεν ἔτη δ΄. τούτου υἱὸς Λαβοροσοάρδοχος ἐκυρίευσε μὲν τῆς
βασιλείας παῖς ὢν μῆνας θ΄, ἐπιβουλευθεὶς δὲ διὰ τὸ πολλὰ ἐμ-
149 φαίνειν κακοήθη ὑπὸ τῶν φίλων ἀπετυμπανίσθη. ἀπολομένου δὲ
τούτου συνελθόντες οἱ ἐπιβουλεύσαντες αὐτῷ κοινῇ τὴν βασιλείαν
περιέθηκαν Ναβοννήδῳ τινὶ τῶν ἐκ Βαβυλῶνος ὄντι ἐκ τῆς αὐτῆς
ἐπισυστάσεως. ἐπὶ τούτου τὰ περὶ τὸν ποταμὸν τείχη τῆς Βαβυ-
λωνίων πόλεως ἐξ ὀπτῆς πλίνθου καὶ ἀσφάλτου κατεκοσμήθη.
150 οὔσης δὲ τῆς βασιλείας αὐτοῦ ἐν τῷ ἑπτακαιδεκάτῳ ἔτει προεξε-
ληλυθὼς Κῦρος ἐκ τῆς Περσίδος μετὰ δυνάμεως πολλῆς καταστρε-
ψάμενος τὴν λοιπὴν βασιλείαν πᾶσαν ὥρμησεν ἐπὶ τῆς Βαβυλωνίας.
151 αἰσθόμενος δὲ Ναβόννηδος τὴν ἔφοδον αὐτοῦ, ἀπαντήσας μετὰ τῆς
δυνάμεως καὶ παραταξάμενος, ἡττηθεὶς τῇ μάχῃ καὶ φυγὼν ὀλιγο-
152 στὸς συνεκλείσθη εἰς τὴν Βορσιππηνῶν πόλιν, Κῦρος δὲ Βαβυλῶνα

LLatEusebius chron. I p. 49, praep. euang. IX 40. 3. Syncellus p. 427.

2 incip. Euseb. praep. *Nabukodrosorus* Euseb. Arm. *ναβουχοδονόσορος* (*ναβουχοδονόσορ* Eus. pr. codd. BG) LLat Euseb. praep. 3 *μετήλλαξε*] Eus. *μετηλλάξατο* L 4 *τεσσαρακοντατρία* L abbinc quaedam excerpsit Sync. 5 *Εὐειλμαράδουχος*] *ethelmaradochus* Lat *Εὐιλμαλούρουχος* Eus. praep. *Euilumarudokhus* Euseb. chron. Arm. *Εὐιλμαρούδουχος* Gutschmid apud Euseb. 6 *ὑπὸ — αὐτοῦ*] *a — genero suo sororis uiro* Eus. Arm.; *γαμβρὸς αὐτοῦ ἐπ' ἀδελφῇ* Sync. ait. *Νηριγλισάρου*] Eus. praep. *Neriglasaro* Eus. chron. *Νιριγλήσαρος* (*Νιριγλίσαρος* cod. A) Sync. *νηριγλισσοροόρου* L *niriglissoro* Lat *Νηριγλισσορσόρου* et 9 *Νηριγλισσόρσορος* Gutschmid 7 *δύο* L *δὲ*] Euseb., om. L 8 *Νηριγλίσαρος*] Eus. praep. *Neriglasarus* Euseb. chron. Arm. *νηριγλισσοροόροσ* L *niriglissorus* Lat 9 *τέσσαρα* L *Λαβοροσοάρδοχος*] *laborosardochus* Lat *λαβοροσοάρχοδοσ* L *Λαβαεσσοαρᾶχος* Euseb. praep. *Labesorakhus* Euseb. chron. Arm. *Λαβοσάροχον* Sync. 10 *ἐννέα* Eus. praep. *ἐκφαίνειν* Eus. praep. codd. BJ 13 *nabonnido* Lat *Ναβοννίδῳ* Euseb. praep. cod. J *Nabonedo* Eus. chron. Arm. 14 *ἐπισυστάσεως*] Eus. Sync. *ἐπιστάσεωσ* L *gente* Lat *τὸν* om. Eus. praep. 15 *κατεκοσμήθη*] *constructa sunt* Eus. Arm. 16 *προεξεληλυθὼς*] *egressus* Lat *προσεληλυθὼς* Eus. praep., unde *προεληλυθὼς* Gutschmid *ἐξεληλυθὼς* Sync. 17 *καταστρεψάμενος*] Euseb. Lat *καὶ καταστρεψάμενοσ* L 18 *βασιλείαν*] (*omnia alia*) *regna* Eus. chron. *ἀσίαν* LLat *ἀρχὴν* Sync. *ἅπασαν* Euseb. praep. 19 *Ναβόννιδος* Lat Eus. praep. cod. J *Nabodeno* Eus. Arm. 20 *καὶ παραταξάμενος*] *bellum facturus* Eus. Arm. *ἡσσηθεὶς* Eus. praep.

καταλαβόμενος καὶ συντάξας τὰ ἔξω τῆς πόλεως τείχη κατασκάψαι διὰ τὸ λίαν αὐτῷ πραγματικὴν καὶ δυσάλωτον φανῆναι τὴν πόλιν ἀνέζευξεν ἐπὶ Βορσίππων ἐκπολιορκήσων τὸν Ναβόννηδον. τοῦ 153
δὲ Ναβοννήδου οὐχ ὑπομείναντος τὴν πολιορκίαν, ἀλλ' ἐγχειρίσαντος αὐτὸν πρότερον, χρησάμενος Κῦρος φιλανθρώπως καὶ δοὺς οἰκητήριον αὐτῷ Καρμανίαν ἐξέπεμψεν ἐκ τῆς Βαβυλωνίας. Ναβόννηδος μὲν οὖν τὸ λοιπὸν τοῦ χρόνου διαγενόμενος ἐν ἐκείνῃ τῇ χώρᾳ κατέστρεψε τὸν βίον."

21. Ταῦτα σύμφωνον ἔχει ταῖς ἡμετέραις βίβλοις τὴν ἀλή- 154
θειαν· γέγραπται γὰρ ἐν αὐταῖς, ὅτι Ναβουχοδονόσορος ὀκτωκαιδεκάτῳ τῆς αὐτοῦ βασιλείας ἔτει τὸν παρ' ἡμῖν ναὸν ἠρήμωσεν καὶ ἦν ἀφανὴς ἐπ' ἔτη πεντήκοντα, δευτέρῳ δὲ τῆς Κύρου βασιλείας ἔτει τῶν θεμελίων ὑποβληθέντων δευτέρῳ πάλιν τῆς Δαρείου βασιλείας ἀπετελέσθη. προσθήσω δὲ καὶ τὰς τῶν Φοινίκων ἀνα- 155
γραφάς· οὐ γὰρ παραλειπτέον τῶν ἀποδείξεων τὴν περιουσίαν· ἔστι δὲ τοιαύτη τῶν χρόνων ἡ καταρίθμησις· ἐπ' Ἰθωβάλου τοῦ 156
βασιλέως ἐπολιόρκησε Ναβουχοδονόσορος τὴν Τύρον ἐπ' ἔτη δεκατρία. μετὰ τοῦτον ἐβασίλευσε Βαὰλ ἔτη δέκα. μετὰ τοῦτον δικα- 157
σταὶ κατεστάθησαν, καὶ ἐδίκασαν Ἐκνίβαλος Βασλήχου μῆνας β', Χέλβης Ἀβδαίου μῆνας ι', Ἄββαρος ἀρχιερεὺς μῆνας γ', Μύττυνος καὶ Γεράστρατος τοῦ Ἀβδηλίμου δικασταὶ ἔτη ς', ὧν μεταξὺ ἐβα-

---

LLatEusebius chron. I p. 51 Schöne, praep. euang. IX 40. 9. Syncellus p. 428.

1 *συντάξας*] *deliberans* Lat 3 *Βορσίππων*] Gutschmid *βόρσιππον* L Eus. praep. et chron. *borsippum* Lat *Ναβόννιδον* Lat Eus. praep. codd. BJ *Nabodenum* Eus. Arm. 4 *Ναβοννίδου* Lat Eus. praep. codd. ut uid. BJ *Nabodenus* Arm. *ἐγχειρίσαντος*] Eus. *ἐγχειρήσαντος* L 5 *αὐτὸν* L *χρησάμενος — φιλανθρώτως*] *usus clementia cyri* Lat 6 *αὐτῷ* post *φιλανθρώπως* aegre desiderari monuit Gutschmid *Καρμανίαν*] *in carcamane* Lat *Ναβόννιδος* Lat Eus. praep. cod. J *Nabodus* Eus. Arm. 7 *τὸ*] *τὸν* Eus. praep. codd. plerique 9 *σύμφωνον*] Euseb. *σύμφωνα* L 10 *Ναβουχοδονόσορ* Eus. praep. 12 *ἐπὶ* Eus *πεντήκοντα*] Eus. *ἑπτά* LLat *ἑβδομήκοντα* Lowthius 13 *δευτέρῳ*] *δεκάτῳ* Euseb. praep. *sexto* Euseb. Arm. 14 *ἀπετελέσθη*] *ἐτελέσθη* Eus. praep., qui hic finit 16 *ἐπὶ θωβάλου* LLat *sub Ethobalo* Euseb. Arm. *ἐπὶ Εἰθωβάλου* Hudson 17 *βασιλέως*] *sacerdote* Eus. Arm. *δεκατρία*] *XIII* Eus. *tribus et decem* Lat 18 *Βαὰλ*] *Balla* Eus *X* Eus 19 *Ἐκνίβαλος*] *hecnibalus* Lat *Ednibalus* Eus. *Βασλήχου*] *nibasci* Lat *Basekhi* Euseb. Arm. *βασλάχου* ed. pr. 20 *Ἀβδαίου*] *addei* Lat *Ἄββαρος*] *abalus* Lat Euseb. Arm. *μῆνας γ̄ ϛ̄ ξ̄* L *Μύττυνος*] *μύττυνοσ ὃς* L *mittinus* Lat *μύτγονος* ed. pr. *Sipunosthus* Euseb. Arm. 21 *gerastartus* Lat *Gerastartas* Eus. *τοῦ — 30, 1 ἕνα*] *Abdelima* (uel *Abdelimae*) *dum iudicis fungebatur munere regnavit annos VI. Balatorus filius eiusdem regnavit unum annum* Euseb. Arm. *τοῦ Ἀβδηλίμου*] *abdilimi* Lat *οἱ Ἀβδηλίμου* coni.

158 σίλευσε Βαλάτορος ἐνιαυτὸν ἕνα. τούτου τελευτήσαντος ἀποστείλαντες μετεπέμψαντο Μέρβαλον ἐκ τῆς Βαβυλῶνος, καὶ ἐβασίλευσεν ἔτη δ'. τούτου τελευτήσαντος μετεπέμψαντο τὸν ἀδελφὸν αὐτοῦ Εἴρωμον, ὃς ἐβασίλευσεν ἔτη εἴκοσιν. ἐπὶ τούτου Κῦρος Περσῶν
159 ἐδυνάστευσεν. οὐκοῦν ὁ σύμπας χρόνος ἔτη νδ' καὶ τρεῖς μῆνες πρὸς αὐτοῖς· ἑβδόμῳ μὲν γὰρ ἔτει τῆς Ναβουχοδονοσόρου βασιλείας ἤρξατο πολιορκεῖν Τύρον, τεσσαρεσκαιδεκάτῳ δ' ἔτει τῆς Εἰρώμου
160 Κῦρος ὁ Πέρσης τὸ κράτος παρέλαβεν. καὶ σύμφωνα μὲν ἐπὶ τοῦ ναοῦ τοῖς ἡμετέροις γράμμασι τὰ Χαλδαίων καὶ Τυρίων, ὡμολογημένη δὲ καὶ ἀναντίρρητος ἡ περὶ τῶν εἰρημένων μοι μαρτυρία τῆς τοῦ γένους ἡμῶν ἀρχαιότητος. τοῖς μὲν οὖν μὴ σφόδρα φιλονείκοις ἀρκέσειν ὑπολαμβάνω τὰ προειρημένα.

161 22. Δεῖ δ' ἄρα καὶ τῶν ἀπιστούντων μὲν τοῖς βαρβάροις ἀναγραφαῖς μόνοις δὲ τοῖς Ἕλλησι πιστεύειν ἀξιούντων ἀποπληρῶσαι τὴν ἐπιζήτησιν καὶ παρασχεῖν πολλοὺς καὶ τούτων ἐπισταμένους τὸ ἔθνος ἡμῶν καὶ καθ' ὃ καιρὸς ἦν αὐτοῖς μνημονεύοντας
162 παραθέσθαι ἐν ἰδίοις αὐτῶν συγγράμμασι. Πυθαγόρας τοίνυν ὁ Σάμιος ἀρχαῖος ὤν, σοφίᾳ δὲ καὶ τῇ περὶ τὸ θεῖον εὐσεβείᾳ πάντων ὑπειλημμένος διενεγκεῖν τῶν φιλοσοφησάντων, οὐ μόνον ἐγνωκὼς τὰ παρ' ἡμῖν δῆλός ἐστιν, ἀλλὰ καὶ ζηλωτὴς αὐτῶν ἐκ πλεί-
163 στου γεγενημένος. αὐτοῦ μὲν οὖν οὐδὲν ὁμολογεῖται σύγγραμμα, πολλοὶ δὲ τὰ περὶ αὐτὸν ἱστορήκασι, καὶ τούτων ἐπισημότατός
164 ἐστιν Ἕρμιππος ἀνὴρ περὶ πᾶσαν ἱστορίαν ἐπιμελής. λέγει τοίνυν ἐν τῷ πρώτῳ τῶν περὶ Πυθαγόρου βιβλίων, ὅτι Πυθαγόρας ἑνὸς αὐτοῦ τῶν συνουσιαστῶν τελευτήσαντος τοὔνομα Καλλιφῶντος τὸ

LLatEusebius chron. I p. 51 Schöne.

2 *meralum* Lat 3 *τούτου*] *eo quoque* Lat *eo etiam* Eus. Arm., unde ἐξ *καὶ τούτου δὲ* coni. 4 *Εἴρωμον*] *Irolmum* Euseb *XX* Lat Eus. 5 *τρεῖς* L 6 *πρὸς αὐτοῖς*] om. Lat *secundum eorum supputationem* Eus. *ἑβδόμῳ* — 7 *ἤρξατο*] *septimo siquidem anno regni sui nabuchodonosor coepit* Lat, h. e. *τῆς βασιλείας Ναβουχοδονόσορος;* rationi conueniens est ita haec refingere: *ἑβδόμῳ μὲν γὰρ ἔτει τῆς Ἰθωβάλου βασιλείας Ναβουχοδονόσορος ἤρξατο* etc. *γὰρ*] *γὰρ καὶ δεκάτῳ* Iac. Capellus, cui adsentitur Gutschmid *ἔτει*] Lat Eus. *ἐπὶ* L *ἐπὶ ι'* Gutschmid 7 *τεσσαρεσκαιδεκάτῳ*] *quarto* Eus. 8 *ἐπὶ τοῦ ναοῦ*] *de templo* Lat Eus. *ἐστι περὶ τοῦ ναοῦ* Gutschmid, *περὶ τοῦ ναοῦ* conicerem, nisi maior uideretur subesse corruptela 9 post *Τυρίων* add. *proferunt* Eus., qui hic finit 10 *περὶ*] *παρὰ* coni., eicit Gutschmid 13 *τοῖς* — 14 *ἀναγραφαῖς*] *barbaricis conscriptionibus* Lat *τοῖς*] *ταῖς ἐν τοῖς* ed. pr. 14 *ἀναγραφαῖς* fort. spurium 17 *παραθέσθαι* suspectum; idem est u. 15 *παρασχεῖν* 20 *ἐκ πλείστου*] *ex multis apparet* Lat 22 *αὐτὸν* ex *αὐτῶν* corr. L 25 *calcifonte* Lat

γένος Κροτωνιάτου τὴν ἐκείνου ψυχὴν ἔλεγε συνδιατρίβειν αὐτῷ καὶ νύκτωρ καὶ μεθ' ἡμέραν· καὶ ὅτι παρεκελεύετο μὴ διέρχεσθαι τόπον, ἐφ' ὃν ὄνος ὀκλάσῃ, καὶ τῶν διψίων ὑδάτων ἀπέχεσθαι καὶ πάσης ἀπέχειν βλασφημίας. εἶτα προστίθησι μετὰ ταῦτα καὶ 165
τάδε· „ταῦτα δὲ ἔπραττεν καὶ ἔλεγε τὰς Ἰουδαίων καὶ Θρᾳκῶν δόξας μιμούμενος καὶ μεταφέρων εἰς ἑαυτόν. λέγεται γὰρ ὡς ἀληθῶς ὁ ἀνὴρ ἐκεῖνος πολλὰ τῶν παρὰ Ἰουδαίοις νομίμων εἰς τὴν αὐτοῦ μετενεγκεῖν φιλοσοφίαν." ἦν δὲ καὶ κατὰ πόλεις οὐκ ἄγνω- 166
στον ἡμῶν πάλαι τὸ ἔθνος, καὶ πολλὰ τῶν ἐθῶν εἴς τινας ἤδη διαπεφοιτήκει καὶ ζήλου παρ' ἐνίοις ἠξιοῦτο. δηλοῖ δὲ ὁ Θεόφρα- 167
στος ἐν τοῖς περὶ νόμων· λέγει γάρ, ὅτι κωλύουσιν οἱ Τυρίων νόμοι ξενικοὺς ὅρκους ὀμνύειν, ἐν οἷς μετά τινων ἄλλων καὶ τὸν καλούμενον ὅρκον κορβὰν καταριθμεῖ. παρ' οὐδενὶ δ' ἂν οὗτος εὑρεθείη πλὴν μόνοις Ἰουδαίοις, δηλοῖ δ' ὡς ἂν εἴποι τις ἐκ τῆς Ἑβραίων μεθερμηνευόμενος διαλέκτου δῶρον θεοῦ. καὶ μὴν οὐδὲ 168
Ἡρόδοτος ὁ Ἁλικαρνασεὺς ἠγνόηκεν ἡμῶν τὸ ἔθνος, ἀλλὰ τρόπῳ τινὶ φαίνεται μεμνημένος· περὶ γὰρ Κόλχων ἱστορῶν ἐν τῇ δευτέρᾳ βίβλῳ φησὶν οὕτως· „μοῦνοι δὲ πάντων, φησί, Κόλχοι καὶ Αἰγύπτιοι 169
καὶ Αἰθίοπες περιτέμνονται ἀπ' ἀρχῆς τὰ αἰδοῖα. Φοίνικες δὲ καὶ Σύριοι οἱ ἐν τῇ Παλαιστίνῃ καὶ οὗτοι ὁμολογοῦσι παρ' Αἰγυπτίων μεμαθηκέναι. Σύριοι δὲ οἱ περὶ Θερμώδοντα καὶ Παρ- 170
θένιον ποταμὸν καὶ Μάκρωνες οἱ τούτοισιν ἀστυγείτονες ὄντες ἀπὸ Κόλχων φασὶ νεωστὶ μεμαθηκέναι· οὗτοι γάρ εἰσιν οἱ περιτεμνόμενοι ἀνθρώπων μοῦνοι καὶ οὗτοι Αἰγυπτίοισι φαίνονται ποιοῦντες κατὰ ταὐτά. αὐτῶν δὲ Αἰγυπτίων καὶ Αἰθιόπων οὐκ ἔχω εἰπεῖν ὁπότεροι παρὰ τῶν ἑτέρων ἐξέμαθον." οὐκοῦν εἴρηκε 171
Σύρους τοὺς ἐν τῇ Παλαιστίνῃ περιτέμνεσθαι· τῶν δὲ τὴν Παλαιστίνην κατοικούντων μόνοι τοῦτο ποιοῦσιν Ἰουδαῖοι· τοῦτο ἄρα γιγνώσκων εἴρηκεν περὶ αὐτῶν. καὶ Χοιρίλος δὲ ἀρχαιότερος γενό- 172
μενος ποιητὴς μέμνηται τοῦ ἔθνους ἡμῶν, ὅτι συνεστράτευται Ξέρξῃ

LLatEusebius praep. euang. IX 9.

2 *μεθ'*] ed. pr. *καθ'* L 3 *ἐφ' — ὀκλάσῃ*] *unde asinus onus portaret* Lat ὃν] ὃν ἂν ed. pr. οὗ ἂν coni. *διψίων*] *feculenta* Lat 4 *ἀπέχειν*] *recederet* Lat; corruptum uid. 9 *ἐθῶν*] *nationes* Lat 13 *οὐδενὶ*] *οὐδέσι* coni. 15 *οὐδὲ*] ed. pr. *οὔτε* L 16 Herodotus II 104 *alicarnasseus* Lat 18 iterato *φησί* offendit Gutschmid 20 *syri* Lat; item mox u. 21 *οὗτοι*] *αὐτοὶ* Herodotus 21 *Θερμώδοντα*] Lat et ed. pr. *θερμώδοντα καὶ πάρδοντα* L *καὶ — 22 ὄντες*] *et astigitones* Lat 29 *καὶ Χοιρίλος* etc. rettulit Euseb. usque ad 32, 2 (*λέγων*) breuius *cyrillus* Lat *δὲ*] ed. pr. *δὲ ὁ* L *ἀρχαιότερος*] *antiquus* Lat *ἀρχαῖος* Euseb. 30 *συνεστράτευσαν* Euseb

τῷ Περσῶν βασιλεῖ ἐπὶ τὴν Ἑλλάδα· καταριθμησάμενος γὰρ πάντα τὰ ἔθνη τελευταῖον καὶ τὸ ἡμέτερον ἐνέταξε λέγων·

173 τῶν δ' ὄπιθεν διέβαινε γένος θαυμαστὸν ἰδέσθαι,
γλῶσσαν μὲν Φοίνισσαν ἀπὸ στομάτων ἀφιέντες,
ᾤκεον δ' ἐν Σολύμοις ὄρεσι πλατέῃ παρὰ λίμνῃ
αὐχμαλέοι κορυφὰς τροχοκουράδες, αὐτὰρ ὕπερθεν
ἵππων δαρτὰ πρόσωπ' ἐφόρουν ἐσκληκότα καπνῷ.

174 δῆλον οὖν ἐστιν, ὡς οἶμαι, πᾶσιν ἡμῶν αὐτὸν μεμνῆσθαι τῷ καὶ τὰ Σόλυμα ὄρη ἐν τῇ ἡμετέρᾳ εἶναι χώρᾳ, ἃ κατοικοῦμεν, καὶ τὴν Ἀσφαλτῖτιν λεγομένην λίμνην· αὕτη γαρ πασῶν τῶν ἐν τῇ Συρίᾳ

175 [λίμνη] πλατυτέρα καὶ μείζων καθέστηκεν. καὶ Χοιρίλος μὲν οὖν οὕτω μέμνηται ἡμῶν. ὅτι δὲ οὐ μόνον ἠπίσταντο τοὺς Ἰουδαίους, ἀλλὰ καὶ ἐθαύμαζον ὅσοις αὐτῶν ἐντύχοιεν οὐχ οἱ φαυλότατοι τῶν Ἑλλήνων, ἀλλ' οἱ ἐπὶ σοφίᾳ μάλιστα τεθαυμασμένοι, ῥᾴδιον γνῶ-

176 ναι· Κλέαρχος γὰρ ὁ Ἀριστοτέλους ὢν μαθητὴς καὶ τῶν ἐκ τοῦ περιπάτου φιλοσόφων οὐδενὸς δεύτερος ἐν τῷ πρώτῳ περὶ ὕπνου βιβλίῳ φησὶν Ἀριστοτέλην τὸν διδάσκαλον αὐτοῦ περί τινος ἀνδρὸς Ἰουδαίου ταῦτα ἱστορεῖν, αὐτῷ τε τὸν λόγον Ἀριστοτέλει

177 παρατιθεὶς· ἔστι δὲ οὕτω γεγραμμένον· „ἀλλὰ τὰ μὲν πολλὰ μακρὸν ἂν εἴη λέγειν, ὅσα δ' ἔχει τῶν ἐκείνου θαυμασιότητά τινα καὶ φιλοσοφίαν ὁμοίως διελθεῖν οὐ χεῖρον. σαφῶς δ' ἴσθι, εἶπεν, Ὑπεροχίδη, θαυμαστὸν ὀνείροις ἴσα σοι δόξω λέγειν. καὶ ὁ Ὑπεροχίδης εὐλαβούμενος, δι' αὐτὸ γάρ, ἔφη, τοῦτο καὶ ζητοῦμεν ἀκοῦ-

178 σαι πάντες. οὐκοῦν, εἶπεν ὁ Ἀριστοτέλης, κατὰ τὸ τῶν ῥητορικῶν

LLatEusebius praep. euang. IX 9, 1; 5, 1.

2 *λέγων*] *ita dicens* Lat *λέγει δὲ οὕτως* Euseb. liberius haec excerpens 3 de Choerili uersibus disputat Naekius Choerili Samii quae supersunt p. 130 sqq. *τῶν*] Euseb. *τῶι* L 4 *Φοίνισσαν*] *poenissimam* Lat *στο|στομάτων* L 5 *ᾤκεον* (uel *ᾤκουν*)] Eus. *ᾤικεε* L *habitantes* Lat *παρὰ*] Eus. *ἐνὶ* L, unde *ἐπὶ* coni 6 *αὐχμαλέοι — τροχοκουράδες*] *iuuenes capillis sub rotunditate detonsis* Lat *κορυφὰς*] *κεφαλὰς* Eus *τροχοκουράδες*] Eus. *τροχοκούριδεσ* L *ὕπερθεν — 7 καπνῷ*] *super equos erectos habentes uultus et quasi fumo siccatos* Lat 8 *οὖν*] *δ'* Euseb., qui insequentia breuiauit et mutauit *πᾶσιν* om. Lat *αὐτὸν*] ed. pr. et ut uid. Lat *αὐτῶν* L *τῷ*] ed. pr. *τὸ* L *eo quod* Lat *ἐκ τοῦ* Euseb 9 *τὴν — 10 λεγομένην*] *quae dicitur asfaltis* Lat 11 *λίμνη*] suspectum *λιμνῶν* Euseb., qui hic finit *cirillus* Lat 12 *ἠπίστατο* uertit Lat 15 Clearchi locum excripsit Eusebius, inde ab § 177 accurate 17 *βιβλίῳ*] Euseb. *βίβλω* L 19 *παρατιθεὶς*] *ascribit* Lat *ἀνατίθησι* Eus *περιτίθησι* Gutschmid 20 *ἂν εἴη*] Euseb. *εἴη* L *δὲ* Eus *τῶν*] Euseb. *τὴν* L 21 *οὐ χεῖρον*] Eus. *οὐχεῦρον* L *operae pretium est* Lat *σαφῶς — 22 λέγειν* om. Lat *δ' ἴσθι εἶπεν*] Eus. *δέ σοι εἰπεῖν* L 22 *θαυμαστὸν*] om. Eusebii cod. B *θαυμαστόν τι καὶ* ed. pr. *θαύμαστ'* Gutschmid *ὁ* om. L

παράγγελμα τὸ γένος αὐτοῦ πρῶτον διέλθωμεν, ἵνα μὴ ἀπειθῶμεν τοῖς τῶν ἀπαγγελιῶν διδασκάλοις. λέγε, εἶπεν ὁ Ὑπεροχίδης, εἴ τί σοι δοκεῖ. κἀκεῖνος τοίνυν τὸ μὲν γένος ἦν Ἰουδαῖος ἐκ τῆς κοίλης 179
Συρίας. οὗτοι δέ εἰσιν ἀπόγονοι τῶν ἐν Ἰνδοῖς φιλοσόφων, καλοῦνται δέ, ὥς φασιν, οἱ φιλόσοφοι παρὰ μὲν Ἰνδοῖς Καλανοί, παρὰ δὲ Σύροις Ἰουδαῖοι τοὔνομα λαβόντες ἀπὸ τοῦ τόπου· προσαγορεύεται γὰρ ὃν κατοικοῦσι τόπον Ἰουδαία. τὸ δὲ τῆς πόλεως αὐτῶν ὄνομα πάνυ σκολιόν ἐστιν· Ἱερουσαλήμην γὰρ αὐτὴν καλοῦσιν. οὗτος οὖν ὁ ἄνθρωπος ἐπιξενούμενός τε πολλοῖς κἀκ τῶν 180
ἄνω τόπων εἰς τοὺς ἐπιθαλαττίους ὑποκαταβαίνων Ἑλληνικὸς ἦν οὐ τῇ διαλέκτῳ μόνον, ἀλλὰ καὶ τῇ ψυχῇ. καὶ τότε διατριβόντων 181
ἡμῶν περὶ τὴν Ἀσίαν παραβαλὼν εἰς τοὺς αὐτοὺς τόπους ἄνθρωπος ἐντυγχάνει ἡμῖν τε καί τισιν ἑτέροις τῶν σχολαστικῶν πειρώμενος αὐτῶν τῆς σοφίας. ὡς δὲ πολλοῖς τῶν ἐν παιδείᾳ συνῳκείωτο, παρεδίδου τι μᾶλλον ὧν εἶχεν.“ ταῦτ᾽ εἰρηκεν ὁ Ἀριστοτέλης παρὰ 182
τῷ Κλεάρχῳ καὶ προσέτι πολλὴν καὶ θαυμάσιον καρτερίαν τοῦ Ἰουδαίου ἀνδρὸς ἐν τῇ διαίτῃ καὶ σωφροσύνην διεξιών. ἔνεστι δὲ τοῖς βουλομένοις ἐξ αὐτοῦ τὸ πλέον γνῶναι τοῦ βιβλίου· φυλάττομαι γὰρ ἐγὼ [τὰ] πλείω τῶν ἱκανῶν παρατίθεσθαι. Κλέαρχος μὲν 183
οὖν ἐν παρεκβάσει ταῦτ᾽ εἰρηκεν, τὸ γὰρ προκείμενον ἦν αὐτῷ καθ᾽ ἕτερον, οὕτως ἡμῶν μνημονεῦσαι. Ἑκαταῖος δὲ ὁ Ἀβδηρίτης, ἀνὴρ φιλόσοφος ἅμα καὶ περὶ τὰς πράξεις ἱκανώτατος, Ἀλεξάνδρῳ τῷ βασιλεῖ συνακμάσας καὶ Πτολεμαίῳ τῷ Λάγου συγγενόμενος, οὐ παρέργως ἀλλὰ περὶ αὐτῶν Ἰουδαίων συγγέγραφε βιβλίον, ἐξ οὗ

LLatEusebius praep. euang. IX 5. 7.

τὸ om. Eus 2 *ἀπαγγελιῶν*] Euseb. *ἐπαγγελιῶν* L *praeceptorum* Lat *εἴ τί σοι*] *οὕτως εἰ* Euseb. *ita si (placet)* Lat *ὅτι* ed. pr. 3 *κἀκεῖνος*] *κεῖνος* Euseb. *ille* Lat post *γένος* addendum coni. *ἔφη* uel *εἶπεν* 4 *δ᾽ εἰσὶν* Euseb 5 *Καλανοί*] *κάλλανοι* L 7 *iuda* Lat 8 *Ἱερουσαλὴμ* Euseb. *hierosolyma*, Lat fort. recte 9 *οὖν* om. Eus. cod. G 10 *ἐπιθαλαττίους*] *θαλαττίους* L *marina* Lat *ὑποκαταβαίνων*] *descendens* Lat *συγκαταβαίνων* Gutschmid *Ἑλληνικὸς*] *gratissimus* Lat h. e. *graecissimus* (*ἑλληνικώτατος*) auctore Gutschmidio 12 *παραβαλὼν*] *dum uenisset* Lat *παραλαβὼν* L *τοὺς αὐτοὺς*] *τοὺς* L *ea (loca)* Lat *ἄνθρωπος*] *is homo* Lat *ἄνθρωπον* L *ἐν οἷς ἦμεν* ed. pr. *ὁ ἄνθρωπος* siue *ἄνθρωπος* coni. 14 *πολλοῖς*] Euseb. *πολλοὶ* LLat *συνῳκείωτο*] Eus *συνωικείωντο* L *congregarentur* Lat 15 *εἶχεν* fin. Eus 16 *τοῦ Ἰουδαίου ἀνδρὸς*] *τἀνδρὸς τὴν* coni. 18 *τὸ*] ed. pr. *τὰ* sic L 19 *τὰ* suspectum *παραθέσθαι* coni. *Κλέαρχος* — 21 *μνημονεῦσαι*] *clearchus siquidem facta digressione, cum aliud propositum haberet, nostri generis ita meminit* Lat 20. *εἰρηκὼς* coni. *καθ᾽* om. Hudson *καθ᾽ ἕτερον οὕτως*] *ἕτερον καὶ οὐ τὸ* Gutschmid 21 *μνημονεύσας* Hudson *ἐμνημόνευσεν* uir doctus apud Hudsonum recte ut uid. 23 *Λάγου*] ed. pr. *λαγῶ* LLat

184 βούλομαι κεφαλαιωδῶς ἐπιδραμεῖν ἔνια τῶν εἰρημένων. καὶ πρῶτον ἐπιδείξω τὸν χρόνον· μνημονεύει γὰρ τῆς Πτολεμαίου περὶ Γάζαν πρὸς Δημήτριον μάχης· αὕτη δὲ γέγονεν ἐνδεκάτῳ μὲν ἔτει τῆς Ἀλεξάνδρου τελευτῆς, ἐπὶ δὲ ὀλυμπιάδος ἑβδόμης καὶ δεκάτης
185 καὶ ἑκατοστῆς, ὡς ἱστορεῖ Κάστωρ. προσθεὶς γὰρ ταύτην τὴν ὀλυμπιάδα φησίν· „ἐπὶ ταύτης Πτολεμαῖος ὁ Λάγου ἐνίκα κατὰ Γάζαν μάχῃ Δημήτριον τὸν Ἀντιγόνου τὸν ἐπικληθέντα Πολιορκητήν.“ Ἀλέξανδρον δὲ τεθνάναι πάντες ὁμολογοῦσιν ἐπὶ τῆς ἑκατοστῆς τεσσαρεσκαιδεκάτης ὀλυμπιάδος. δῆλον οὖν, ὅτι καὶ κατ᾽
186 ἐκεῖνον καὶ κατὰ Ἀλέξανδρον ἤκμαζεν ἡμῶν τὸ ἔθνος. λέγει τοίνυν ὁ Ἑκαταῖος πάλιν τάδε, ὅτι μετὰ τὴν ἐν Γάζῃ μάχην ὁ Πτολεμαῖος ἐγένετο τῶν περὶ Συρίαν τόπων ἐγκρατής, καὶ πολλοὶ τῶν ἀνθρώπων πυνθανόμενοι τὴν ἠπιότητα καὶ φιλανθρωπίαν τοῦ Πτολεμαίου συναπαίρειν εἰς Αἴγυπτον αὐτῷ καὶ κοινωνεῖν τῶν πραγ-
187 μάτων ἠβουλήθησαν. ὧν εἷς ἦν, φησίν, Ἐζεκίας ἀρχιερεὺς τῶν Ἰουδαίων, ἄνθρωπος τὴν μὲν ἡλικίαν ὡς ἑξηκονταὲξ ἐτῶν, τῷ δ᾽ ἀξιώματι τῷ παρὰ τοῖς ὁμοέθνοις μέγας καὶ τὴν ψυχὴν οὐκ ἀνόητος, ἔτι δὲ καὶ λέγειν δυνατὸς καὶ τοῖς περὶ τῶν πραγμάτων, εἴπερ
188 τις ἄλλος, ἔμπειρος. καίτοι, φησίν, οἱ πάντες ἱερεῖς τῶν Ἰουδαίων οἱ τὴν δεκάτην τῶν γινομένων λαμβάνοντες καὶ τὰ κοινὰ διοικοῦντες
189 περὶ χιλίους μάλιστα καὶ πεντακοσίους εἰσίν.“ πάλιν δὲ τοῦ προειρημένου μνημονεύων ἀνδρός „οὗτος, φησίν, ὁ ἄνθρωπος τετευχὼς τῆς τιμῆς ταύτης καὶ συνήθης ἡμῖν γενόμενος, παραλαβών τινας τῶν μεθ᾽ ἑαυτοῦ τήν τε διαφορὰν ἀνέγνω πᾶσαν αὐτοῖς· εἶχεν γὰρ
190 τὴν κατοίκησιν αὐτῶν καὶ τὴν πολιτείαν γεγραμμένην.“ εἶτα Ἑκαταῖος δηλοῖ πάλιν, πῶς ἔχομεν πρὸς τοὺς νόμους, ὅτι πάντα πάσχειν ὑπὲρ τοῦ μὴ παραβῆναι τούτους προαιρούμεθα καὶ καλὸν εἶναι
191 νομίζομεν. τοιγαροῦν, φησί, καὶ κακῶς ἀκούοντες ὑπὸ τῶν ἀστυγειτόνων καὶ τῶν εἰσαφικνουμένων πάντες καὶ προπηλακιζόμενοι πολλάκις ὑπὸ τῶν Περσικῶν βασιλέων καὶ σατραπῶν οὐ δύνανται μεταπεισθῆναι τῇ διανοίᾳ, ἀλλὰ γεγυμνωμένως περὶ τούτων καὶ αἰκίαις

~~LLatEusebius praep. euang. IX 5. 7.~~

6 *Λάγου*] ed. pr. *λαγὸς* LLat *κατὰ*] *τῇ κατὰ* coni. 9 *κατ᾽ ἐκεῖνον*] *secundum illud tempus* Lat; hic haereo 15 *ἑξεκίας* L *ὁ ἀρχιερεὺς* ed. pr. 17 *οὐκ*] Hudson *οὔτ᾽* L 18 *τοῖς — πραγμάτων*] *circa causas* Lat, h. e. fere *περὶ τὰ πράγματα* *τοῖς περὶ* damnat Hudson, fort. lacuna statuenda 20 *τὴν δεκάτην*] *decatas* Lat 24 *τε* om. Lat Hudson 25 *αὐτῶν*] *suam* Lat 26 *πρὸς*] *circa* Lat, unde *περὶ* coni. 27 *τούτους*] ed. pr. *τοῦτο* L *eas* Lat *καὶ* om. ed. pr. 28 *νομίζοντες* ed. pr. 29 *καὶ — εἰσαφικνουμένων* om. Lat *πάντων* ed. pr. 30 *ὑπὸ*] ed. pr. *ὑπὲρ* L *a* Lat 31 *γεγυμνασμένως* intellexit Lat

καὶ θανάτοις δεινοτάτοις μάλιστα πάντων ἁπαντῶσι μὴ ἀρνούμενοι τὰ πάτρια.“ παρέχεται δὲ καὶ τεκμήρια τῆς ἰσχυρογνωμοσύνης τῆς 192
περὶ τῶν νόμων οὐκ ὀλίγα· φησὶ γάρ, Ἀλεξάνδρου ποτὲ ἐν Βαβυλῶνι γενομένου καὶ προελομένου τὸ τοῦ Βήλου πεπτωκὸς ἱερὸν
5 ἀνακαθᾶραι καὶ πᾶσιν αὐτοῦ τοῖς στρατιώταις ὁμοίως φέρειν τὸν χοῦν προστάξαντος, μόνους τοὺς Ἰουδαίους οὐ προσσχεῖν, ἀλλὰ καὶ πολλὰς ὑπομεῖναι πληγὰς καὶ ζημίας ἀποτῖσαι μεγάλας, ἕως αὐτοῖς συγγνόντα τὸν βασιλέα δοῦναι τὴν ἄδειαν. ἔτι γε μὴν τῶν 193
εἰς τὴν χώραν, φησί, πρὸς αὐτοὺς ἀφικνουμένων νεὼς καὶ βωμοὺς
10 κατασκευασάντων ἅπαντα ταῦτα κατέσκαπτον, καὶ τῶν μὲν ζημίαν τοῖς σατράπαις ἐξέτινον, περί τινων δὲ καὶ συγγνώμης μετελάμβανον. καὶ προσεπιτίθησιν, ὅτι δίκαιον ἐπὶ τούτοις αὐτούς ἐστι θαυμάζειν. λέγει δὲ καὶ περὶ τοῦ πολυανθρωπότατον γεγονέναι 194
ἡμῶν τὸ ἔθνος· πολλὰς μὲν γὰρ ἡμῶν, φησίν, ἀνασπάστους εἰς
15 Βαβυλῶνα Πέρσαι πρότερον αὐτῶν ἐποίησαν μυριάδας, οὐκ ὀλίγαι δὲ καὶ μετὰ τὸν Ἀλεξάνδρου θάνατον εἰς Αἴγυπτον καὶ Φοινίκην μετέστησαν διὰ τὴν ἐν Συρίᾳ στάσιν.“ ὁ δὲ αὐτὸς οὗτος ἀνὴρ καὶ τὸ 195
μέγεθος τῆς χώρας ἣν κατοικοῦμεν καὶ τὸ κάλλος ἱστόρηκεν· τριακοσίας γὰρ μυριάδας ἀρουρῶν σχεδὸν τῆς ἀρίστης καὶ παμφορω-
20 τάτης χώρας νέμονται, φησίν· ἡ γὰρ Ἰουδαία τοσαύτη πλῆθός ἐστιν.“ ἀλλὰ μὴν ὅτι καὶ τὴν πόλιν αὐτὴν τὰ Ἱεροσόλυμα καλλί- 196
στην τε καὶ μεγίστην ἐκ παλαιοτάτου κατοικοῦμεν καὶ περὶ πλήθους ἀνδρῶν καὶ περὶ τῆς τοῦ νεὼ κατασκευῆς οὕτως αὐτὸς διηγεῖται. „ἔστι γὰρ τῶν Ἰουδαίων τὰ μὲν πολλὰ ὀχυρώματα κατὰ 197
25 τὴν χώραν καὶ κῶμαι, μία δὲ πόλις ὀχυρὰ πεντήκοντα μάλιστα σταδίων τὴν περίμετρον, ἣν οἰκοῦσι μὲν ἀνθρώπων περὶ δώδεκα μυριάδες, καλοῦσι δ᾽ αὐτὴν Ἱεροσόλυμα. ἐνταῦθα δ᾽ ἐστὶ κατὰ 198
μέσον μάλιστα τῆς πόλεως περίβολος λίθινος μῆκος ὡς πεντάπλε-

---

LLatEusebius praep. euang. IX 4. 2.

2 *πάτρια*] coni. *πατρῶια* L 6 *προσχεῖν* L, correxit Bekker 8 *ἔτι*] coni. *ἐπεῖ* L et ut uid. Lat *τῶν* ed. pr. 9 *νεὼς*] *καὶ νεὼς* ed. pr. 11 *ἐξέτεινον* L, correxit Dindorf 12 *προσεπιτίθησιν*] *adicit* Lat *προστίθησιν* cod. Eliensis recte *τούτοις*] ed. pr. *τούτουσ* L 14 *ἡμῶν*] fort. spurium *αὐτῶν* Bekker 15 *αὐτῶν* om. Lat Bekker 20 *πλῆθος*] *amplitudinis* Lat *πλάτος* Hudson 22 *κατοικοῦμεν*] ed. pr. *inhabitamus* Lat *κατοικουμένην* L *καὶ περὶ* — 23 *ἀνδρῶν*] *et uirorum multitudine copiosam* (ad *πόλιν* relatum) Lat 23 *αὐτὸς*] *idem ipse* Lat *αὖ* uel *ὁ αὐτός* Bekker 24 *ἔστι* incip. Eusebius *μὲν* om. Eus cod. J 25 *δὲ*] *δὲ ἡ Ἱερουσαλὴμ* Eusebii cod. J 26 *μὲν* om. L et ut uid. Lat *δώδεκα μυριάδες*] *CL milia* Lat 27 *δέ ἐστι* Eus 28 *μῆκος — πεντάπλεθρος* om. Lat

Θρος, εὖρος δὲ πηχῶν ρ΄, ἔχων διπλᾶς πύλας, ἐν ᾧ βωμός ἐστι τετράγωνος ἀτμήτων συλλέκτων ἀργῶν λίθων οὕτως συγκείμενος, πλευρὰν μὲν ἑκάστην εἴκοσι πηχῶν, ὕψος δὲ δεκάπηχυ. καὶ παρ' αὐτὸν οἴκημα μέγα, οὗ βωμός ἐστι καὶ λυχνίον ἀμφότερα χρυσᾶ
199 *δύο τάλαντα τὴν ὁλκήν. ἐπὶ τούτων φῶς ἐστιν ἀναπόσβεστον καὶ τὰς νύκτας καὶ τὰς ἡμέρας. ἄγαλμα δὲ οὐκ ἔστιν οὐδὲ ἀνάθημα τὸ παράπαν οὐδὲ φύτευμα παντελῶς οὐδὲν οἷον ἀλσῶδες ἤ τι τοιοῦτον. διατρίβουσι δ' ἐν αὐτῷ καὶ τὰς νύκτας καὶ τὰς ἡμέρας ἱερεῖς ἁγνείας τινὰς ἁγνεύοντες καὶ τὸ παράπαν οἶνον οὐ πίνοντες ἐν*
200 *τῷ ἱερῷ.“ ἔτι γε μὴν ὅτι καὶ Ἀλεξάνδρῳ τῷ βασιλεῖ συνεστρατεύσαντο καὶ μετὰ ταῦτα τοῖς διαδόχοις αὐτοῦ μεμαρτύρηκεν. οἷς δ' αὐτὸς παρατυχεῖν φησιν ὑπ' ἀνδρὸς Ἰουδαίου κατὰ τὴν στρα-*
201 *τείαν γενομένοις, τοῦτο παραθήσομαι. λέγει δ' οὕτως· „ἐμοῦ γοῦν ἐπὶ τὴν Ἐρυθρὰν θάλασσαν βαδίζοντος συνηκολούθει τις μετὰ τῶν ἄλλων τῶν παραπεμπόντων ἡμᾶς ἱππέων Ἰουδαίων ὄνομα Μοσόλ-*
λαμος, ἄνθρωπος ἱκανῶς κατὰ ψυχὴν εὔρωστος καὶ τοξότης δὴ πάντων ὁμολογουμένως καὶ τῶν Ἑλλήνων καὶ τῶν βαρβάρων ἄρι-
202 *στος. οὗτος οὖν ὁ ἄνθρωπος διαβαδιζόντων πολλῶν κατὰ τὴν ὁδὸν καὶ μάντεώς τινος ὀρνιθευομένου καὶ πάντας ἐπισχεῖν ἀξιοῦν-*
203 *τος ἠρώτησε, διὰ τί προσμένουσι. δείξαντος δὲ τοῦ μάντεως αὐτῷ τὸν ὄρνιθα καὶ φήσαντος, ἐὰν μὲν αὐτοῦ μένῃ προσμένειν συμφέρειν πᾶσιν, ἂν δ' ἀναστὰς εἰς τοὔμπροσθεν πέτηται προάγειν, ἐὰν δὲ εἰς τοὔπισθεν ἀναχωρεῖν αὖθις, σιωπήσας καὶ παρελκύσας*

LLatEusebius praep. evang. IX 4. 6.

1 εὖρος — ρ΄] *centum per circuitum cubitorum* Lat δὲ om. L et ut uid. Lat πήχεων Euseb 2 ἀτμήτων — λίθων] *ex lapidibus non dolatis sed collectis atque iacentibus* Lat συλλεκτῶν L οὕτω Eus 3 μὲν] δὲ Eus πήχεων Eus δὲ om. Eus δωδεκάπηχυ Eusebii cod. J δεκάπηχυς Bekker /A
3 λυχνία Eusebii cod. G 5 ἐπὶ] ἐπὶ δὲ Eus καὶ τὰς — 6 ἡμέρας] *noctibus et diebus* Lat νυκτὸς καὶ ἡμέρας Eusebii cod. G, fort. recte 6 δ' Eus οὐδ' Euseb 7 οὐδὲν] οὐδὲ Euseb τοιοῦτο Eusebii cod. G 8 καὶ τὰς — ἡμέρας] *et noctibus et diebus* Lat καὶ νυκτὸς καὶ ἡμέρας Eusebii cod. B 10 ἔτι γε μὴν om. Euseb Ἀλεξάνδρῳ — 11 αὐτοῦ] *cum alexandri regis successoribus postea castra metati sunt* Lat συνεστρατεύσαντο] Euseb. Lat συνεστρατεύομεν L 11 καὶ] Euseb, om. L 12 δ' om. LLat φησιν] *dicens* Lat 13 δὲ Euseb 15 ἡμᾶς] Eus ἡμῖν L Ἰουδαῖος coni. Μοσόμαμος Euseb 16 ἱκανῶς] Eus. cod. J ἱκανὸς LLat Eus cod. G κατὰ] κατὰ τὴν Eus. cod. J καὶ coni. δὴ] ὑπὸ δὴ Eus 17 ὁμολογουμένως] coni. ὁμολογούμενος LEus *indubitanter* Lat 18 διαβαδιζόντων] βαδιζόντων Euseb *properantibus* Lat 20 ἠρώτησε] ἤρετο Eusebii cod. B 21 τὸν] Eus τὴν L μὲν] Euseb μὲν οὖν L συμφέρειν] Eus. cod. G συμφέρῃ L συμφέρει Eusebii cod. J 22 ἐὰν Eus ἀναστὰς L¹ 23 δ' Eus. cod. G παρελκύσας] ἑλκύσας Eus

τὸ τόξον ἔβαλε καὶ τὸν ὄρνιθα κατάξας ἀπέκτεινεν. ἀγανακτούν- 204
των δὲ τοῦ μάντεως καί τινων ἄλλων καὶ καταρωμένων αὐτῷ, „τί
μαίνεσθε, ἔφη, κακοδαίμονες;“ εἶτα τὸν ὄρνιθα λαβὼν εἰς τὰς χεῖ-
ρας, „πῶς γάρ, ἔφη, οὗτος τὴν αὐτοῦ σωτηρίαν οὐ προϊδὼν περὶ
τῆς ἡμετέρας πορείας ἡμῖν ἄν τι ὑγιὲς ἀπήγγελλεν; εἰ γὰρ ἠδύνατο
προγιγνώσκειν τὸ μέλλον, εἰς τὸν τόπον τοῦτον οὐκ ἂν ἦλθε φοβού-
μενος, μὴ τοξεύσας αὐτὸν ἀποκτείνῃ Μοσόλλαμος ὁ Ἰουδαῖος.“ ἀλλὰ
τῶν μὲν Ἑκαταίου μαρτυριῶν ἅλις· τοῖς γὰρ βουλομένοις πλείω (205)
μαθεῖν τῷ βιβλίῳ ῥᾴδιόν ἐστιν ἐντυχεῖν. οὐκ ὀκνήσω δὲ καὶ τὸν
ἐπ᾽ εὐηθείας διασυρμῷ, καθάπερ αὐτὸς οἴεται, μνήμην πεποιημ-
μένον ἡμῶν Ἀγαθαρχίδην ὀνομάσαι· διηγούμενος γὰρ τὰ περὶ 206
Στρατονίκην, ὃν τρόπον ἦλθεν μὲν εἰς Συρίαν ἐκ Μακεδονίας κατα-
λιποῦσα τὸν ἑαυτῆς ἄνδρα Δημήτριον, Σελεύκου δὲ γαμεῖν αὐτὴν
οὐ θελήσαντος, ὅπερ ἐκείνη προσεδόκησεν, ποιουμένου [δὲ] τὴν
ἀπὸ Βαβυλῶνος στρατείαν αὐτοῦ τὰ περὶ τὴν Ἀντιόχειαν ἐνεωτέ-
ρισεν. εἶθ᾽ ὡς ἀνέστρεψεν ὁ βασιλεύς, ἁλισκομένης τῆς Ἀντιο- 207
χείας εἰς Σελεύκειαν φυγοῦσα, παρὸν αὐτῇ ταχέως ἀποπλεῖν ἐννυ-
πνίῳ κωλύοντι πεισθεῖσα ἐλήφθη καὶ ἀπέθανεν. ταῦτα προειπὼν 208
ὁ Ἀγαθαρχίδης καὶ ἐπισκώπτων τῇ Στρατονίκῃ τὴν δεισιδαιμονίαν
παραδείγματι χρῆται τῷ περὶ ἡμῶν λόγῳ καὶ γέγραφεν οὕτως·
„οἱ καλούμενοι Ἰουδαῖοι πόλιν οἰκοῦντες ὀχυρωτάτην πασῶν, ἣν 209
καλεῖν Ἱεροσόλυμα συμβαίνει τοὺς ἐγχωρίους, ἀργεῖν εἰθισμένοι
δι᾽ ἑβδόμης ἡμέρας καὶ μήτε τὰ ὅπλα βαστάζειν ἐν τοῖς εἰρη-
μένοις χρόνοις μήτε γεωργίας ἅπτεσθαι μήτε ἄλλης ἐπιμελεῖσθαι
λειτουργίας μηδεμιᾶς, ἀλλ᾽ ἐν τοῖς ἱεροῖς ἐκτετακότες τὰς χεῖ-
ρας εὔχεσθαι μέχρι τῆς ἑσπέρας, εἰσιόντος εἰς τὴν πόλιν Πτολε- 210
μαίου τοῦ Λάγου μετὰ τῆς δυνάμεως καὶ τῶν ἀνθρώπων ἀντὶ
τοῦ φυλάττειν τὴν πόλιν διατηρούντων τὴν ἄνοιαν, ἣ μὲν πα-

LLatEusebius praep. euang. IX 4. 6.

1 τὸν] Eus τὴν L 2 δὲ] τε Eusebii codd. BG 3 κακοδαίμονες; εἶτα τὸν] κακοδαιμονέστατον LLat λαβὼν] Eus λαβόντες LLat 4 ἔφη] om. LLat, post οὗτος tr. Eusebii cod. J προειδὼς Eus. cod. J 5 ἀνήγγειλεν Euseb ἐδύνατο Eusebii cod. J 6 προγινώσκειν Euseb 7 μοσόλαμος L Μοσόμαμος Euseb. *a mosollamo* Lat ὁ om. L Ἰουδαῖος] fin. Euseb 10 ἐπ᾽ εὐηθείας] ed. pr. ἐπενηθεία L 14 δὲ om. Lat, recte ut uid. 15 στρατείαν] Bekker στρατιὰν LLat 17 παρὸν — ἀποπλεῖν] *cum posset semetipsam uelocius interimere* Lat 21 Agatharchidis locus iterum extat Antiq. Iud. XII 6, aliter expressus. οἰκοῦντες] *habitant* Lat 22 εἰθισμένοι] *hi consueti sunt* Lat 23 μήτε] Bekker μὴδε L 24 χρόνοις] *diebus* Lat 26 εἰσιόντος] *ingrediente uero* Lat 27 λαγοῦ L καὶ τῶν] *et multis* Lat

τρὶς εἰλήφει δεσπότην πικρόν, ὁ δὲ νόμος ἐξηλέγχθη φαῦλον ἔχων
211 ἐθισμόν. τὸ δὲ συμβὰν πλὴν ἐκείνων τοὺς ἄλλους πάντας δεδί-
δαχε τηνικαῦτα φυγεῖν εἰς ἐνύπνια καὶ τὴν περὶ τοῦ νόμου παρα-
δεδομένην ὑπόνοιαν, ἡνίκα ἂν τοῖς ἀνθρωπίνοις λογισμοῖς περὶ
212 τῶν διαπορουμένων ἐξασθενήσωσιν.“ τοῦτο μὲν Ἀγαθαρχίδῃ κα- 5
ταγέλωτος ἄξιον δοκεῖ, τοῖς δὲ μὴ μετὰ δυσμενείας ἐξετάζουσι
φαίνεται μέγα καὶ πολλῶν ἄξιον ἐγκωμίων, εἰ καὶ σωτηρίας καὶ
πατρίδος ἄνθρωποί τινες νόμων φυλακὴν καὶ τὴν πρὸς θεὸν εὐσέ-
βειαν ἀεὶ προτιμῶσιν.

213 23. Ὅτι δὲ οὐκ ἀγνοοῦντες ἔνιοι τῶν συγγραφέων τὸ ἔθνος 10
ἡμῶν, ἀλλ᾽ ὑπὸ φθόνου τινὸς ἢ δι᾽ ἄλλας αἰτίας οὐχ ὑγιεῖς τὴν
μνήμην παρέλιπον, τεκμήριον οἶμαι παρέξειν· Ἱερώνυμος γὰρ ὁ
τὴν περὶ τῶν διαδόχων ἱστορίαν συγγεγραφὼς κατὰ τὸν αὐτὸν μὲν
ἦν Ἑκαταίῳ χρόνον, φίλος δ᾽ ὢν Ἀντιγόνου τοῦ βασιλέως τὴν Συ-
214 ρίαν ἐπετρόπευεν· ἀλλ᾽ ὅμως Ἑκαταῖος μὲν καὶ βιβλίον ἔγραψεν 15
περὶ ἡμῶν, Ἱερώνυμος δ᾽ οὐδαμοῦ κατὰ τὴν ἱστορίαν ἐμνημόνευσε
καίτοι σχεδὸν ἐν τοῖς τόποις διατετριφώς· τοσοῦτον αἱ προαιρέσεις
τῶν ἀνθρώπων διήνεγκαν. τῷ μὲν γὰρ ἐδόξαμεν καὶ σπουδαίας
εἶναι μνήμης ἄξιοι, τῷ δὲ πρὸς τὴν ἀλήθειαν πάντως τι πάθος
215 οὐκ εὔγνωμον ἐπεσκότησεν. ἀρκοῦσι δὲ ὅμως εἰς τὴν ἀπόδειξιν 20
τῆς ἀρχαιότητος αἵ τε Αἰγυπτίων καὶ Χαλδαίων καὶ Φοινίκων ἀνα-
216 γραφαὶ πρὸς ἐκείναις τε τοσοῦτοι τῶν Ἑλλήνων συγγραφεῖς· ἔτι δὲ
πρὸς τοῖς εἰρημένοις Θεόφιλος καὶ Θεόδοτος καὶ Μνασέας καὶ Ἀρι-
στοφάνης καὶ Ἑρμογένης Εὐήμερός τε καὶ Κόνων καὶ Ζωπυρίων
καὶ πολλοί τινες ἄλλοι τάχα, οὐ γὰρ ἔγωγε πᾶσιν ἐντετύχηκα τοῖς 25
217 βιβλίοις, οὐ παρέργως ἡμῶν ἐμνημονεύκασιν. οἱ πολλοὶ δὲ τῶν
εἰρημένων ἀνδρῶν τῆς μὲν ἀληθείας τῶν ἐξ ἀρχῆς πραγμάτων διή-
μαρτον, ὅτι μὴ ταῖς ἱεραῖς ἡμῶν βίβλοις ἐνέτυχον, κοινῶς μέντοι
περὶ τῆς ἀρχαιότητος ἅπαντες μεμαρτυρήκασιν, ὑπὲρ ἧς τὰ νῦν
218 λέγειν προεθέμην. ὁ μέντοι Φαληρεὺς Δημήτριος καὶ Φίλων ὁ 30
πρεσβύτερος καὶ Εὐπόλεμος οὐ πολὺ τῆς ἀληθείας διήμαρτον.

LLatEusebius praep. euang. IX 42.

1 *φαῦλον*] *unam* Lat 3 *εἰς*] LLat, om. Grotius 5 *ἐξασθενήσωσιν*] Bekker *ἐξασθενήσουσιν* L 11 *τὴν μνήμην*] *memoriam nostri* Lat 14 *Ἀντιγόνου*] *ἀντιόχου* L 17 *ἐν τοῖς τόποις*] *in ipsis locis* Lat 19 *πρὸς*] *circa* Lat 20 *ἀρκοῦσι* incip. Eus *δ᾽* Eus 21 *Αἰγυπτίων*] *Σύρων* Eus 22 *ἔτι δὲ*] *ἔτι δὲ καὶ* L *adhuc enim* (*etiam* coni.) Lat 23 *Θεόδοτος*] *theodorus* Lat *manaseas* Lat 24 *Κόνων*] *cinun* Lat *Κόμων* Euseb 26 *μεμνημονεύκασιν* Euseb 29 *ἧς*] *οὗ* Euseb. fort. recte

οἷς συγγιγνώσκειν ἄξιον· οὐ γὰρ ἐνῆν αὐτοῖς μετὰ πάσης ἀκριβείας τοῖς ἡμετέροις γράμμασι παρακολουθεῖν.

24. Ἓν ἔτι μοι κεφάλαιον ὑπολείπεται τῶν κατὰ τὴν ἀρχὴν 219
προτεθέντων τοῦ λόγου, τὰς διαβολὰς καὶ τὰς λοιδορίας, αἷς κέ-
χρηνταί τινες κατὰ τοῦ γένους ἡμῶν, ἀποδεῖξαι ψευδεῖς καὶ τοῖς
γεγραφόσι ταύτας καθ' ἑαυτῶν χρήσασθαι μάρτυσιν. ὅτι μὲν οὖν 220
καὶ ἑτέροις τοῦτο πολλοῖς συμβέβηκε διὰ τὴν ἐνίων δυσμένειαν,
οἶμαι γιγνώσκειν τοὺς πλέον ταῖς ἱστορίαις ἐντυγχάνοντας· καὶ γὰρ
ἐθνῶν τινες καὶ τῶν ἐνδοξοτάτων πόλεων ὑπαίνειν τὴν εὐγένειαν
καὶ τὰς πολιτείας ἐπεχείρησαν λοιδορεῖν, Θεόπομπος μὲν τὴν Ἀθη- 221
ναίων, τὴν δὲ Λακεδαιμονίων Πολυκράτης, ὁ δὲ τὸν Τριπολιτικὸν
γράψας, οὐ γὰρ δὴ Θεόπομπός ἐστιν ὡς οἴονταί τινες, καὶ τὴν
Θηβαίων πόλιν προσέλαβεν, πολλὰ δὲ καὶ Τίμαιος ἐν ταῖς ἱστο-
ρίαις περὶ τῶν προειρημένων καὶ περὶ ἄλλων βεβλασφήμηκεν. μά- 222
λιστα δὲ τοῦτο ποιοῦσι τοῖς ἐνδοξοτάτοις προσπλεκόμενοι, τινὲς
μὲν διὰ φθόνον καὶ κακοήθειαν, ἄλλοι δὲ διὰ τοῦ καινολογεῖν μνή-
μης ἀξιωθήσεσθαι νομίζοντες. παρὰ μὲν οὖν τοῖς ἀνοήτοις ταύ-
της οὐ διαμαρτάνουσι τῆς ἐλπίδος, οἱ δ' ὑγιαίνοντες τῇ κρίσει
πολλὴν αὐτῶν μοχθηρίαν καταδικάζουσι.

25. Τῶν δὲ εἰς ἡμᾶς βλασφημιῶν ἤρξαντο μὲν Αἰγύπτιοι· 223
βουλόμενοι δ' ἐκείνοις τινὲς χαρίζεσθαι παρατρέπειν ἐπεχείρησαν
τὴν ἀλήθειαν, οὔτε τὴν εἰς Αἴγυπτον ἄφιξιν ὡς ἐγένετο τῶν ἡμε-
τέρων προγόνων ὁμολογοῦντες, οὔτε τὴν ἔξοδον ἀληθεύοντες. αἰ- 224
τίας δὲ πολλὰς ἔλαβον τοῦ μισεῖν καὶ φθονεῖν τὸ μὲν ἐξ ἀρχῆς,
ὅτι κατὰ τὴν χώραν αὐτῶν ἐδυνάστευσαν ἡμῶν οἱ πρόγονοι κἀκεῖ-
θεν ἀπαλλαγέντες ἐπὶ τὴν οἰκείαν πάλιν εὐδαιμόνησαν, εἶθ' ἡ
τούτων ὑπεναντιότης πολλὴν αὐτοῖς ἐνεποίησεν ἔχθραν, τοσοῦτον
τῆς ἡμετέρας διαφερούσης εὐσεβείας πρὸς τὴν ὑπ' ἐκείνων νενο-
μισμένην, ὅσον θεοῦ φύσις ζῴων ἀλόγων διέστηκε. κοινὸν μὲν γὰρ 225
αὐτοῖς ἐστι πάτριον τὸ ταῦτα θεοὺς νομίζειν, ἰδίᾳ δὲ πρὸς ἀλλή-
λους ἐν ταῖς τιμαῖς αὐτῶν διαφέρονται. κοῦφοι δὲ καὶ ἀνόητοι
παντάπασιν ἄνθρωποι κακῶς ἐξ ἀρχῆς εἰθισμένοι δοξάζειν περὶ
θεῶν μιμήσασθαι μὲν τὴν σεμνότητα τῆς ἡμετέρας θεολογίας οὐκ

LLatEusebius praep. euang. IX 42. 3.

1 οἷς — ἄξιον om. Eusebii codd. BG συγγινώσκειν Eus 2 fin. Euseb 11 *pilocrates* Lat Τριπολιτικὸν] *tripodem perdurabilem* corrupte Lat 13 προσέλαβεν] *momordit* Lat, unde *διέβαλε* Hudson 16 καινολογεῖν] Dindorf *uerbosam nouitatem* Lat κενολογεῖν L 18 οὐ διαμαρτάνουσι] *nequaquam — fraudantur* Lat οὐδαμῶς ἁμαρτάνουσι ed. pr. κρίσει] in marg. γρ τῇ ἀκροάσει L 21 ἐκείνοις τινὲς] ἐκεῖνοί τισι uertit Lat 27 τούτων] *horum* Lat τῶν ἱερῶν Spanheim 31 ἀνόητοι] ἀνόητοι ὄντες coni.

226 ἐχώρησαν, ὁρῶντες δὲ ζηλουμένους ὑπὸ πολλῶν ἐφθόνησαν. εἰς τοσοῦτον γὰρ ἦλθον ἀνοίας καὶ μικροψυχίας ἔνιοι τῶν παρ᾽ αὐτοῖς, ὥστ᾽ οὐδὲ ταῖς ἀρχαίαις αὐτῶν ἀναγραφαῖς ὤκνησαν ἐναντία λέγειν, ἀλλὰ καὶ σφίσιν αὐτοῖς ἐναντία γράφοντες ὑπὸ τυφλότητος τοῦ πάθους ἠγνόησαν.

227 26. Ἐφ᾽ ἑνὸς δὲ πρώτου στήσω τὸν λόγον, ᾧ καὶ μάρτυρι
228 μικρὸν ἔμπροσθεν τῆς ἀρχαιότητος ἐχρησάμην. ὁ γὰρ Μανεθὼς οὗτος ὁ τὴν Αἰγυπτιακὴν ἱστορίαν ἐκ τῶν ἱερῶν γραμμάτων μεθερμηνεύειν ὑπεσχημένος, προειπὼν τοὺς ἡμετέρους προγόνους πολλαῖς μυριάσιν ἐπὶ τὴν Αἴγυπτον ἐλθόντας κρατῆσαι τῶν ἐνοικούντων, εἶτ᾽ αὐτὸς ὁμολογῶν χρόνῳ πάλιν ὕστερον ἐκπεσόντας τὴν νῦν Ἰουδαίαν κατασχεῖν καὶ κτίσαντας Ἱεροσόλυμα τὸν νεὼ κατασκεύασα-
229 σθαι, μέχρι μὲν τούτων ἠκολούθησε ταῖς ἀναγραφαῖς. ἔπειτα δὲ δοὺς ἐξουσίαν αὐτῷ διὰ τοῦ φάναι γράψειν τὰ μυθευόμενα καὶ λεγόμενα περὶ τῶν Ἰουδαίων λόγους ἀπιθάνους παρενέβαλεν, ἀναμῖξαι βουλόμενος ἡμῖν πλῆθος Αἰγυπτίων λεπρῶν καὶ ἐπὶ ἄλλοις ἀρρωστή-
230 μασιν, ὡς φησι, φυγεῖν ἐκ τῆς Αἰγύπτου καταγνωσθέντων. Ἀμένωφιν γὰρ βασιλέα προσθεὶς ψευδὲς ὄνομα καὶ διὰ τοῦτο χρόνον αὐτοῦ τῆς βασιλείας ὁρίσαι μὴ τολμήσας, καίτοι γε ἐπὶ τῶν ἄλλων βασιλέων ἀκριβῶς τὰ ἔτη προστιθείς, τούτῳ προσάπτει τινὰς μυθολογίας ἐπιλαθόμενος σχεδόν, ὅτι πεντακοσίοις ἔτεσι καὶ δεκαοκτὼ πρότερον ἱστόρηκε γενέσθαι τὴν τῶν ποιμένων ἔξοδον εἰς Ἱεροσό-
231 λυμα. Τέθμωσις γὰρ ἦν βασιλεὺς ὅτε ἐξῆεσαν, ἀπὸ δὲ τούτων μεταξὺ τῶν βασιλέων κατ᾽ αὐτόν ἐστι τριακόσια ἐνενηκοντατρία ἔτη μέχρι τῶν δύο ἀδελφῶν Σέθω καὶ Ἑρμαίου, ὧν τὸν μὲν Σέθων Αἴγυπτον, τὸν δὲ Ἕρμαιον Δαναὸν μετονομασθῆναί φησιν, ὃν ἐκβαλὼν ὁ Σέθως ἐβασίλευσεν ἔτη νϑ΄ καὶ μετ᾽ αὐτὸν ὁ πρεσβύ-
232 τερος τῶν υἱῶν αὐτοῦ Ῥάμψης ξς΄. τοσούτοις οὖν πρότερον ἔτεσιν ἀπελθεῖν ἐξ Αἰγύπτου τοὺς πατέρας ἡμῶν ὁμολογηκὼς εἶτα τὸν Ἀμένωφιν εἰσποιήσας ἐμβόλιμον βασιλέα φησὶν τοῦτον ἐπιθυμῆσαι θεῶν γενέσθαι θεατήν ὥσπερ Ὧρ εἷς τῶν πρὸ αὐτοῦ βεβασιλευκότων, ἀνενεγκεῖν δὲ τὴν ἐπιθυμίαν ὁμωνύμῳ μὲν αὐτῷ Ἀμενώφει

---

7 *manethon* Lat 12 *νεὼν* Dindorf 14 *φάναι*] *uidealur* Lat 23 *tethmusis* Lat *ἀπὸ δὲ — 24 κατ᾽ αὐτὸν*] *et ab hoc tempore regum qui postea fuerunt* Lat *ἀπὸ δὲ τούτου τῶν μεταξὺ βασιλέων* coni. 25 *Σέθω*] *sethonem* Lat cf. § 98 *Ἑρμαίου*] *hermetum* (ex *hermeum* corruptum uid.) Lat *Ἁρμαΐς* uocatur supra § 98 *sethonem* Lat 26 *Ἕρμαιον*] ed. pr. *ἑρμᾶν* L *hermeum* Lat 27 *sethon* Lat *πρεσβύτατος* coni. 28 *rapsis* Lat, cf. § 245 31 *Ὧρ*] *Ωρος* Hudson *osorem* Lat, quod ex *orem* corruptum uid., accusatiuus postulatur *εἷς*] *quendam* Lat

πατρὸς δὲ Πάπιος ὄντι, θείας δὲ δοκοῦντι μετεσχηκέναι φύσεως
κατά τε σοφίαν καὶ πρόγνωσιν τῶν ἐσομένων. εἰπεῖν οὖν αὐτῷ 233
τοῦτον τὸν ὁμώνυμον, ὅτι δυνήσεται θεοὺς ἰδεῖν, εἰ καθαρὰν ἀπό
τε λεπρῶν καὶ τῶν ἄλλων μιαρῶν ἀνθρώπων τὴν χώραν ἅπασαν
ποιήσειεν. ἡσθέντα δὲ τὸν βασιλέα πάντας τοὺς τὰ σώματα λελω- 234
βημένους ἐκ τῆς Αἰγύπτου συναγαγεῖν· γενέσθαι δὲ τοῦ πλήθους
μυριάδας ὀκτώ· καὶ τούτους εἰς τὰς λιθοτομίας τὰς ἐν τῷ πρὸς 235
ἀνατολὴν μέρει τοῦ Νείλου ἐμβαλεῖν αὐτόν, ὅπως ἐργάζοιντο καὶ
τῶν ἄλλων Αἰγυπτίων οἱ ἐγκεχωρισμένοι. εἶναι δέ τινας ἐν αὐτοῖς
καὶ τῶν λογίων ἱερέων φησὶ λέπρᾳ συγκεχυμένους. τὸν δὲ Ἀμέ- 236
νωφιν ἐκεῖνον, τὸν σοφὸν καὶ μαντικὸν ἄνδρα, ὑποδεῖσαι πρὸς αὐ-
τόν τε καὶ τὸν βασιλέα χόλον τῶν θεῶν, εἰ βιασθέντες ὀφθήσονται.
καὶ προσθέμενον εἰπεῖν, ὅτι συμμαχήσουσί τινες τοῖς μιαροῖς καὶ
τῆς Αἰγύπτου κρατήσουσιν ἐπ᾽ ἔτη δεκατρία, μὴ τολμῆσαι μὲν
αὐτὸν εἰπεῖν ταῦτα τῷ βασιλεῖ, γραφὴν δὲ καταλιπόντα περὶ πάν-
των ἑαυτὸν ἀνελεῖν, ἐν ἀθυμίᾳ δὲ εἶναι τὸν βασιλέα. κἄπειτα κατὰ 237
λέξιν οὕτως γέγραφεν· „τῶν δ᾽ ἐν ταῖς λατομίαις ὡς χρόνος ἱκανὸς
διῆλθεν ταλαιπωρούντων, ἀξιωθεὶς ὁ βασιλεύς, ἵνα [πρὸς] κατά-
λυσιν αὐτοῖς καὶ σκέπην ἀπομερίσῃ, τὴν τότε τῶν ποιμένων ἐρη-
μωθεῖσαν πόλιν Ἀΰαριν συνεχώρησεν· ἔστι δ᾽ ἡ πόλις κατὰ τὴν
θεολογίαν ἄνωθεν Τυφώνιος. οἱ δὲ εἰς ταύτην εἰσελθόντες καὶ τὸν 238
τόπον τοῦτον [εἰς] ἀπόστασιν ἔχοντες ἡγεμόνα αὐτῶν λεγόμενόν τινα
τῶν Ἡλιοπολιτῶν ἱερέων Ὀσάρσηφον ἐστήσαντο καὶ τούτῳ πειθαρχή-

---

1 *papio* (ablat.) Lat παάπιος ed. pr. ex § 243 4 ἅπασαν om. Lat
5 ἡσθέντα] *πεισθέντα* coni. 6 *γενέσθαι* — 7 *ὀκτώ*] *et fuisse multitudinem numero LXXX* (*L̄X̄X̄X̄* coni.) Lat *τὸ πλῆθος* coni. 7 *τούτους*, *υσ* i. ras. L 8 *ὅπως* — 9 *ἐγκεχωρισμένοι*] *ad hoc (esse) efficiendum simul et alios aegyptios quibus hoc erat iniunctum* Lat 8 *ὅπου εἰργάζοντο* Bekker recte 9 *ἐγκεχειρισμένοι* Hudson *ἐκκεχωρισμένοι* Bekker 10 *συγκεχυμένους*] *perfusos* Lat *συνεσχημένους* uel *συνεισχημένους* coni. 11 *ὑποδεῖσαι*] Dindorf *ὑποδεῖσθαι* L *πρὸς αὐτόν* — 13 *εἰπεῖν*] *et circa semetipsum et apud regem deorum uulcanum, ut aperte suaderet eis uim fieri, sed adiecisse* Lat et apparet Graeca corrupta esse cf. § 257 13 *προσθέμενον*] *προθέμενον* ed. pr., desidero genetiuum absolutum uelut *ὑποθεμένων* subiungendum uerbo *τολμῆσαι* 14 *et* ante *μὴ* add. Lat 15 *περὶ πάντων*] *ex his omnibus* Lat 16 *pro iudeis* post *βασιλέα* add. Lat 17 *τῶν δὲ* — 18 *ἀξιωθεὶς*] *his itaque rogatus* Lat *δ᾽ ἐν*] Bekker *δὲ* L 18 *πρὸς* suspectum 21 *Τυφώνιος*] *ualde praecelsa* Lat 22 *εἰς* spurium uid. 24 *λεγόμενον*, *ον* ex *ων* corr. L *optimum* Lat, *λεγόμενον* post *Ὀσάρσηφον* melius ponetur 23 *osarsifam* Lat *ὀσάρσυφον* ed. pr. *Ὀσάρσιφον* Hudson *πειθαρχήσοντες*] ed. pr. *πειθαρχήσαντες* L

239 σοντες ἐν πᾶσιν ὡρκωμότησαν. ὁ δὲ πρῶτον μὲν αὐτοῖς νόμον
ἔθετο μήτε προσκυνεῖν θεοὺς μήτε τῶν μάλιστα ἐν Αἰγύπτῳ θεμι-
στευομένων ἱερῶν ζῴων ἀπέχεσθαι μηδενός, πάντα δὲ θύειν καὶ
240 ἀναλοῦν, συνάπτεσθαι δὲ μηδενὶ πλὴν τῶν συνομωμοσμένων. τοι-
αῦτα δὲ νομοθετήσας καὶ πλεῖστα ἄλλα μάλιστα τοῖς Αἰγυπτίοις
ἐθισμοῖς ἐναντιούμενα ἐκέλευσεν πολυχειρίᾳ τὰ τῆς πόλεως ἐπι-
σκευάζειν τείχη καὶ πρὸς πόλεμον ἑτοίμους γίνεσθαι τὸν πρὸς Ἀμέ-
241 νωφιν τὸν βασιλέα. αὐτὸς δὲ προσλαβόμενος μεθ' ἑαυτοῦ καὶ τῶν
ἄλλων ἱερέων καὶ συμμεμιαμμένων ἔπεμψε πρέσβεις πρὸς τοὺς ὑπὸ
Τεθμώσεως ἀπελαθέντας ποιμένας εἰς πόλιν τὴν καλουμένην Ἱερο-
σόλυμα, καὶ τὰ καθ' ἑαυτὸν καὶ τοὺς ἄλλους τοὺς συνατιμασθέντας
242 δηλώσας ἠξίου συνεπιστρατεύειν ὁμοθυμαδὸν ἐπ' Αἴγυπτον. ἐπά-
ξειν μὲν οὖν αὐτοὺς ἐπηγγείλατο πρῶτον μὲν εἰς Ἀβαριν τὴν προ-
γονικὴν αὐτῶν πατρίδα καὶ τὰ ἐπιτήδεια τοῖς ὄχλοις παρέξειν
ἀφθόνως, ὑπερμαχήσεσθαι δὲ ὅτε δέοι καὶ ῥᾳδίως ὑποχείριον αὐ-
243 τοῖς τὴν χώραν ποιήσειν. οἱ δὲ ὑπερχαρεῖς γενόμενοι πάντες προ-
θύμως εἰς κ΄ μυριάδας ἀνδρῶν συνεξώρμησαν καὶ μετ' οὐ πολὺ
ἦκον εἰς Ἄβαριν. Ἀμένωφις δ' ὁ τῶν Αἰγυπτίων βασιλεὺς ὡς
ἐπύθετο τὰ κατὰ τὴν ἐκείνων ἔφοδον, οὐ μετρίως συνεχύθη τῆς
244 παρὰ Ἀμενώφεως τοῦ Παάπιος μνησθεὶς προδηλώσεως. καὶ πρό-
τερον συναγαγὼν πλῆθος Αἰγυπτίων καὶ βουλευσάμενος μετὰ τῶν ἐν
τούτοις ἡγεμόνων τά τε ἱερὰ ζῷα τὰ [πρῶτα] μάλιστα ἐν τοῖς ἱεροῖς
τιμώμενα ὅσα γ' ἑαυτὸν μετεπέμψατο καὶ τοῖς κατὰ μέρος ἱερεῦσι
245 παρήγγελλεν ὡς ἀσφαλέστατα τῶν θεῶν συγκρύψαι τὰ ξόανα. τὸν δὲ
υἱὸν Σέθω τὸν καὶ Ῥαμεσσῆ ἀπὸ Ῥαψηοῦς τοῦ πατρὸς ὠνομασμένον
πενταέτη ὄντα ἐξέθετο πρὸς τὸν ἑαυτοῦ φίλον. αὐτὸς δὲ διαβὰς *
τοῖς ἄλλοις Αἰγυπτίοις οὖσιν εἰς τριάκοντα μυριάδας ἀνδρῶν μαχι-
246 μωτάτων καὶ τοῖς πολεμίοις ἀπαντήσας οὐ συνέβαλεν, ἀλλὰ μέλλειν

---

1 πᾶσιν, π in ras. L ὡρκωμότησαν] Bekker ὁρκωμότησαν L
3 πάντα — 4 ἀναλοῦν om. Lat 4 συνομωμοσμένων] coni. συνωμοσμένων L
τοιαῦτα] *haec* Lat 6 Ἀμένωφιν] Lat μένωφιν L 8 καὶ τῶν — 9 συμ-
μεμιαμμένων] *etiam alios sacerdotes et maculatorum quosdam* Lat 9 καὶ συμ-
μεμιαμμένων] τοὺς μεμιαμμένους coni. συμμεμιασμένων ed pr. 10 ἀπε-
λαθέντας] Dindorf ἀπελασθέντασ L 12 ἀπάξειν Lowthius 20 Παάπιος]
papiae Lat πρότερον] πρῶτον coni. 22 *et* post ζῷα add. Lat πρῶτα
om. Lat, seclusit Bekker 23 ὅσα γε αὐτὸν, ὅσγ i. ras. L ὡς ἑαυτὸν coni.
ὅσ — μετεπέμψατο] *ante praemisit* Lat 24 παρήγγειλεν ed. pr. 25 σέθων
ed. pr. *sethonem* Lat ῥαμέσσην ed. pr. *ramessi* Lat Ῥαψηοῦς] *rapso* Lat
Ῥάμψεως Hudson ex § 231 26 διαβὰς] Nilum transgressus esse intellegendus
est cf. § 274 27 τοῖς ἄλλοις] *cum aliis* Lat, unde σὺν τοῖς ἄλλοις coni. 28 καὶ
τοῖς πολεμίοις om. Lat ἀπαντήσας] coni. *occurrens* Lat ἀπαντήσασιν L

θεομαχεῖν νομίσας παλινδρομήσας ἦκεν εἰς Μέμφιν ἀναλαβών τε
τόν τε Ἆπιν καὶ τὰ ἄλλα τὰ ἐκεῖσε μεταπεμφθέντα ἱερὰ ζῷα
εὐθὺς εἰς Αἰθιοπίαν σὺν ἅπαντι τῷ στόλῳ καὶ πλήθει τῶν Αἰ-
γυπτίων ἀνήχθη· χάριτι γὰρ ἦν αὐτῷ ὑποχείριος ὁ τῶν Αἰθιό-
πων βασιλεύς. ὃς ὑποδεξάμενος καὶ τοὺς ὄχλους πάντας ὑπολα- 247
βὼν οἷς ἔσχεν ἡ χώρα τῶν πρὸς ἀνθρωπίνην τροφὴν ἐπιτηδείων,
καὶ πόλεις καὶ κώμας πρὸς τὴν τῶν πεπρωμένων τρισκαίδεκα ἐτῶν
ἀπὸ τῆς ἀρχῆς αὐτοῦ [εἰς τὴν] ἔκπτωσιν αὐτάρκεις, οὐχ ἧττον δὲ
καὶ στρατόπεδον Αἰθιοπικὸν πρὸς φυλακὴν ἐπέταξε τοῖς παρ' 248
Ἀμενώφεως τοῦ βασιλέως ἐπὶ τῶν ὁρίων τῆς Αἰγύπτου. καὶ τὰ
μὲν κατὰ τὴν Αἰθιοπίαν τοιαῦτα. οἱ δὲ Σολυμῖται κατελθόντες
σὺν τοῖς μιαροῖς τῶν Αἰγυπτίων οὕτως ἀνοσίως καὶ τοῖς ἀνθρώ-
ποις προσηνέχθησαν, ὥστε τὴν τῶν προειρημένων κράτησιν χρυσὸν
φαίνεσθαι τοῖς τότε τὰ τούτων ἀσεβήματα θεωμένοις· καὶ γὰρ 249
οὐ μόνον πόλεις καὶ κώμας ἐνέπρησαν οὐδὲ ἱεροσυλοῦντες οὐδὲ
λυμαινόμενοι ξόανα θεῶν ἠρκοῦντο, ἀλλὰ καὶ τοῖς αὐτοῖς ὀπτα-
νίοις τῶν σεβαστευομένων ἱερῶν ζῴων χρώμενοι διετέλουν καὶ θύ-
τας καὶ σφαγεῖς τούτων ἱερεῖς καὶ προφήτας ἠνάγκαζον γίνεσθαι
καὶ γυμνοὺς ἐξέβαλλον. λέγεται δέ, ὅτι τὴν πολιτείαν καὶ τοὺς 250
νόμους αὐτοῖς καταβαλόμενος ἱερεὺς τὸ γένος Ἡλιοπολίτης ὄνομα
Ὀσαρσὶφ ἀπὸ τοῦ ἐν Ἡλιουπόλει θεοῦ Ὀσίρεως, ὡς μετέβη εἰς
τοῦτο τὸ γένος, μετετέθη τοὔνομα καὶ προσηγορεύθη Μωυσῆς."

27. Ἃ μὲν οὖν Αἰγύπτιοι φέρουσι περὶ τῶν Ἰουδαίων ταῦτ' 251
ἐστὶ καὶ ἕτερα πλείονα, ἃ παρίημι συντομίας ἕνεκα. λέγει δὲ ὁ
Μανεθὼς πάλιν, ὅτι μετὰ ταῦτα ἐπῆλθεν ὁ Ἀμένωφις ἀπὸ Αἰ-
θιοπίας μετὰ μεγάλης δυνάμεως καὶ ὁ υἱὸς αὐτοῦ Ῥάμψης καὶ

---

2 *καὶ τὰ — ζῷα*] *et alia sacra* Lat 3 *καὶ τῷ πλήθει* coni. 4 *Αἰθιό-πων*] *aegyptiorum* Lat 5 *ὃς*] coni. ex Lat *ὅθεν* L *ὃς — ὑπολαβὼν*] *qui etiam populum suscipiens praebuit* Lat *καὶ*] *μὲν* coni., ita ut simul *ὑπολαβὼν* in *παρασχὼν δὲ* mutatum u. 6 post *ἐπιτηδείων* ponatur; sed alia quoque fingi possunt et fingenda sunt, siquidem infra *οὐχ ἧττον δὲ* recte legitur 7 *παρα-σχὼν* uel simile post *πόλεις* add. Hudson 8 *εἰς τὴν* om. ed. pr. et ut uid. Lat *οὐχ — 10 Αἰγύπτου*] *nihilominus amenofin fuerant deducti ad fines aegyptios* Lat *δὲ*] fort. omittendum, *γε* ed. pr. 9 *παραμενώφεως* L 11 *τοιαῦτα*] *haec* Lat 12 *καὶ* om. Lat ed. pr. 13 *προειρημένων*] priorem pastorum dominationem dicit *χρυσὸν*] *nimis pessima* Lat, unde *χειρίστην* Lowthius 16 *ἀλλὰ καὶ — 17 διετέλουν*] *sed etiam ipsa sacra animalia quae colebantur crudelissime discerpserunt* Lat *αὐτοῖς*] *ἀὐτοὺς* Bekker 19 *quos* ante *καὶ γυμνοὺς* add. Lat, fort. recte *ἐξέβαλον* ed. pr. *τὴν*] *ὁ τὴν* coni. 21 *osarsifas* Lat 24 *καὶ ἕτερα — παρίημι*] *sed et alia multa brevitatis causa praetereo* Lat *ἃ παρίημι*] ed. pr. ex Lat *παρ' ἡμῖν* L 25 *μανεθὼν* LLat *Αἰθιοπίας*] *aegypto* Lat 26 *ramsis* Lat

αὐτὸς ἔχων δύναμιν, καὶ συμβαλόντες οἱ δύο τοῖς ποιμέσι καὶ τοῖς μιαροῖς ἐνίκησαν αὐτοὺς καὶ πολλοὺς ἀποκτείναντες ἐδίωξαν αὐ-
252 τοὺς ἄχρι τῶν ὁρίων τῆς Συρίας. ταῦτα μὲν καὶ τὰ τοιαῦτα Μανεθὼς συνέγραψεν. ὅτι δὲ ληρεῖ καὶ ψεύδεται περιφανῶς, ἐπιδείξω προδιαστειλάμενος ἐκεῖνο τῶν ὕστερον πρὸς ἄλλους λεχθησομένων ἕνεκα· δέδωκε γὰρ οὗτος ἡμῖν καὶ ὁμολόγηκεν ἐξ ἀρχῆς τε μὴ εἶναι τὸ γένος Αἰγυπτίους, ἀλλ᾽ αὐτοὺς ἔξωθεν ἐπελθόντας κρατῆσαι
253 τῆς Αἰγύπτου καὶ πάλιν ἐξ αὐτῆς ἀπελθεῖν. ὅτι δ᾽ οὐκ ἀνεμίχθησαν ἡμῖν ὕστερον τῶν Αἰγυπτίων οἱ τὰ σώματα λελωβημένοι, καὶ ὅτι ἐκ τούτων οὐκ ἦν Μωυσῆς ὁ τὸν λαὸν ἀγαγών, ἀλλὰ πολλαῖς ἐγεγόνει γενεαῖς πρότερον, ταῦτα πειράσομαι διὰ τῶν ὑπ᾽ αὐτοῦ λεγομένων ἐλέγχειν.

254 28. Πρώτην δὴ τὴν αἰτίαν τοῦ πλάσματος ὑποτίθεται καταγέλαστον· ὁ βασιλεὺς γάρ φησιν Ἀμένωφις ἐπεθύμησε τοὺς θεοὺς ἰδεῖν. ποίους; εἰ μὲν τοὺς παρ᾽ αὐτοῖς νενομοθετημένους τὸν βοῦν
255 καὶ τράγον καὶ κροκοδείλους καὶ κυνοκεφάλους, ἑώρα. τοὺς οὐρανίους δὲ πῶς ἐδύνατο; καὶ διὰ τί ταύτην ἔσχε τὴν ἐπιθυμίαν; ὅτι νὴ Δία καὶ πρότερος αὐτοῦ βασιλεὺς ἄλλος ἑωράκει. παρ᾽ ἐκείνου τοίνυν ἐπέπυστο, ποταποί τινές εἰσι καὶ τίνα τρόπον αὐτοὺς εἶδεν,
256 ὥστε καινῆς αὐτῷ τέχνης οὐκ ἔδει. ἀλλὰ σοφὸς ἦν ὁ μάντις, δι᾽ οὗ τοῦτο κατορθώσειν ὁ βασιλεὺς ὑπελάμβανε. καὶ πῶς οὐ προέγνω τὸ ἀδύνατον αὐτοῦ τῆς ἐπιθυμίας; οὐ γὰρ ἀπέβη. τίνα δὲ καὶ λόγον εἶχε διὰ τοὺς ἠκρωτηριασμένους ἢ λεπρῶντας ἀφανεῖς εἶναι τοὺς θεούς; ὀργίζονται γὰρ ἐπὶ τοῖς ἀσεβήμασιν, οὐκ ἐπὶ
257 τοῖς ἐλαττώμασι τῶν σωμάτων. ὀκτὼ δὲ μυριάδας τῶν λεπρῶν καὶ κακῶς διακειμένων πῶς οἷόν τε μιᾷ σχεδὸν ἡμέρᾳ συλλεγῆναι; πῶς δὲ παρήκουσεν τοῦ μάντεως ὁ βασιλεύς; ὁ μὲν γὰρ αὐτὸν ἐκέλευσεν ἐξορίσαι τῆς Αἰγύπτου τοὺς λελωβημένους, ὁ δ᾽ αὐτοὺς εἰς τὰς λιθοτομίας ἐνέβαλεν, ὥσπερ τῶν ἐργασομένων δεόμενος, ἀλλ᾽
258 οὐχὶ καθᾶραι τὴν χώραν προαιρούμενος. φησὶ δὲ τὸν μὲν μάντιν αὐτὸν ἀνελεῖν τὴν ὀργὴν τῶν θεῶν προορώμενον καὶ τὰ συμβησόμενα περὶ τὴν Αἴγυπτον, τῷ δὲ βασιλεῖ γεγραμμένην τὴν πρόρρησιν καταλιπεῖν. εἶτα πῶς οὐκ ἐξ ἀρχῆς ὁ μάντις τὸν αὐτοῦ θάνατον
259 προηπίστατο; πῶς δὲ οὐκ εὐθὺς ἀντεῖπεν τῷ βασιλεῖ βουλομένῳ

---

2 καὶ πολλοὺς — αὐτοὺς om. Lat 3 μανεθὼν LLat 5 πρὸς ἄλλους] coni. πρὸς ἀλλήλους L *alterna gratia* Lat πρὸς αὐτὸν ed. pr. 6 τε] τὸ coni. 8 *nostri progenitores* post ἀπελθεῖν add. Lat 15 ποίους] *quos putas* Lat 16 κροκοδήλους L, corr. ed. pr. 22 *quod uoluit* post ἀπέβη add. Lat 30 καθᾶραι] καὶ καθᾶραι ed. pr. 31 προορώμενον] ed. pr. προορώμενων sic L 32 πρόρρησιν] ed. pr. πρόσρησιν L

τοὺς θεοὺς ἰδεῖν; πῶς δ' εὔλογος ὁ φόβος τῶν μὴ παρ' αὐτὸν
συμβησομένων κακῶν; ἦ τι χεῖρον ἔδει παθεῖν οὐδ' ἂν ἑαυτὸν
ἔσπευδεν. τὸ δὲ δὴ πάντων εὐηθέστατον ἴδωμεν· πυθόμενος γὰρ 260
ταῦτα καὶ περὶ τῶν μελλόντων φοβηθεὶς τοὺς λελωβημένους ἐκεί-
νους, ὧν αὐτῷ καθαρεῦσαι προείρητο τὴν Αἴγυπτον, οὐδὲ τότε τῆς
χώρας ἐξήλασεν, ἀλλὰ δεηθεῖσιν αὐτοῖς ἔδωκε πόλιν, ὥς φησι, τὴν
πάλαι μὲν οἰκηθεῖσαν ὑπὸ τῶν ποιμένων, Ἄὐαριν δὲ καλουμένην.
εἰς ἣν ἀθροισθέντας αὐτοὺς ἡγεμόνα φησὶν ἐξελέσθαι τῶν ἐξ 261
Ἡλιουπόλεως πάλαι γεγονότων ἱερέων, καὶ τοῦτον αὐτοῖς εἰσηγή-
σασθαι μήτε θεοὺς προσκυνεῖν μήτε τῶν ἐπ' Αἰγύπτῳ θρησκευο-
μένων ζῴων ἀπέχεσθαι, πάντα δὲ θύειν καὶ κατεσθίειν, συνάπ-
τεσθαι δὲ μηδενὶ πλὴν τῶν συνομωμοσμένων, ὅρκοις τε τὸ πλῆθος
ἐνδησάμενον, ἧ μὴν τούτοις ἐμμενεῖν τοῖς νόμοις, καὶ τειχίσαντα
τὴν Ἄὐαριν πρὸς τὸν βασιλέα πόλεμον ἐξενεγκεῖν. καὶ προστί- 262
θησιν, ὅτι ἔπεμψεν εἰς Ἱεροσόλυμα παρακαλῶν ἐκείνους αὐτοῖς
συμμαχεῖν καὶ δώσειν αὐτοῖς τὴν Ἄὐαριν ὑπισχνούμενος, εἶναι γὰρ
αὐτὴν τοῖς ἐκ τῶν Ἱεροσολύμων ἀφιξομένοις προγονικήν, ἀφ' ἧς
ὁρμωμένους αὐτοὺς πᾶσαν τὴν Αἴγυπτον καθέξειν. εἶτα τοὺς μὲν 263
ἐπελθεῖν εἴκοσι στρατοῦ μυριάσι λέγει, τὸν βασιλέα δὲ τῶν Αἰγυ-
πτίων Ἀμένωφιν οὐκ οἰόμενον δεῖν θεομαχεῖν εἰς τὴν Αἰθιοπίαν
εὐθὺς ἀποδρᾶναι, τὸν δὲ Ἄπιν καί τινα τῶν ἄλλων ἱερῶν ζῴων
παρατεθεικέναι τοῖς ἱερεῦσι διαφυλάττεσθαι κελεύσαντα. εἶτα τοὺς 264
Ἱεροσολυμίτας ἐπελθόντας τάς τε πόλεις ἀνιστάναι καὶ τὰ ἱερὰ
κατακαίειν καὶ τοὺς ἱππέας ἀποσφάττειν, ὅλως τε μηδεμιᾶς ἀπέ-
χεσθαι παρανομίας μηδὲ ὠμότητος. ὁ δὲ τὴν πολιτείαν καὶ τοὺς 265
νόμους αὐτοῖς καταβαλόμενος ἱερεύς, φησίν, ἦν τὸ γένος Ἡλιο-
πολίτης, ὄνομα δ' Ὀσαρσὴφ ἀπὸ τοῦ ἐν Ἡλιουπόλει θεοῦ Ὀσί-
ρεως, μεταθέμενος δὲ Μωυσῆν αὐτὸν προσηγόρευσε. τρισκαιδε- 266
κάτῳ δέ φησιν ἔτει τὸν Ἀμένωφιν, τοσοῦτον γὰρ αὐτῷ χρόνον εἶναι

---

1 πῶς δ' — 2 κακῶν om. Lat 2 ἦ τι] ἢ τὶ L ἤ τί ed. pr. ἦ τι — ἔσπευδεν] *quam quod se ipse perimere festinabat* Lat 3 οὐδ' ἄν] διὸ ἀνελεῖν nescio quis apud Hudson; certe aliquid deest 4 καὶ melius abesset 7 οἰκισθεῖσαν ed. pr. 10 ἐπ' Αἰγύπτου aut ἐν Αἰγύπτῳ aut ὑπ' Αἰγυπτίων coni. 11 συνάπτεσθαι] ed. pr. ex § 239 συνεμβάπτεσθαι L *miscerentur* Lat 12 συνομωμοσμένων] coni. συνωμοσμένων L τὸ iterat L 13 ἐμμενεῖν] coni. ἐμμένειν L 15 αὐτοῖς] ed. pr. αὐτοὺς L 19 δὲ βασιλέα tr. ed. pr. 21 Ἄπιν] *apinum* Lat 22 παρατεθεικέναι] παραθεῖναι melius erat, nisi mauis παρατεθεικότα et u. 21 τόν τε Ἄπιν παρατεθεικέναι — κελεύσαντα] *deuexisse* Lat 24 ἱππέας] LLat ἱερέας Bekker 26 καταβαλόμενος] ed. pr. καταβαλλόμενος L Ἡλιοπολίτης] coni. ἡλιουπολίτης L *ieropolitis* Lat 27 Ὀσαρσήφ] ὀσαρσίφ ed. pr. ἀρσηφ L *arsifas* Lat 28 αὐτὸν] Hudson αὐτὸν L

τῆς ἐκπτώσεως πεπρωμένον, ἐξ Αἰθιοπίας ἐπελθόντα μετὰ πολλῆς στρατιᾶς καὶ συμβαλόντα τοῖς ποιμέσι καὶ τοῖς μιαροῖς νικῆσαί τε τῇ μάχῃ καὶ κτεῖναι πολλοὺς ἐπιδιώξαντα μέχρι τῶν τῆς Συρίας ὅρων.

267 29. Ἐν τούτοις πάλιν οὐ συνίησιν ἀπιθάνως ψευδόμενος· οἱ γὰρ λεπροὶ καὶ τὸ μετ' αὐτῶν πλῆθος, εἰ καὶ πρότερον ὠργίζοντο τῷ βασιλεῖ καὶ τοῖς τὰ περὶ αὐτοὺς πεποιηκόσι κατὰ [τε] τὴν τοῦ μάντεως προαγόρευσιν, ἀλλ' ὅτε τῶν λιθοτομιῶν ἐξῆλθον καὶ πόλιν παρ' αὐτοῦ καὶ χώραν ἔλαβον, πάντως ἂν γεγόνεισαν πρᾴότεροι
268 πρὸς αὐτόν. εἰ δὲ δὴ κἀκεῖνον ἐμίσουν, ἰδίᾳ μὲν ἄνω ἐπεβούλευον, οὐκ ἂν δὲ πρὸς ἅπαντας ἤραντο πόλεμον, δῆλον ὅτι πλείστας ἔχοντες
269 συγγενείας τοσοῦτοί γε τὸ πλῆθος ὄντες. ὅμως δὲ καὶ τοῖς ἀνθρώποις πολεμεῖν διεγνωκότες οὐκ ἂν εἰς τοὺς αὐτῶν θεοὺς πολεμεῖν ἐτόλμησαν οὐδ' ὑπεναντιωτάτους ἔθεντο νόμους τοῖς πατρίοις αὐ-
270 τῶν καὶ οἷς ἐνετράφησαν. δεῖ δὲ ἡμᾶς τῷ Μανεθῶνι χάριν ἔχειν, ὅτι ταύτης τῆς παρανομίας οὐχὶ τοὺς ἐξ Ἱεροσολύμων ἐλθόντας ἀρχηγοὺς γενέσθαι φησίν, ἀλλ' αὐτοὺς ἐκείνους ὄντας Αἰγυπτίους καὶ τούτων μάλιστα τοὺς ἱερέας ἐπινοῆσαί τε ταῦτα καὶ ὁρκωμο-
271 τῆσαι τὸ πλῆθος. ἐκεῖνο μέντοι πῶς οὐκ ἄλογον, τῶν μὲν οἰκείων αὐτοῖς καὶ τῶν φίλων συναποστῆναι οὐδένα μηδὲ τοῦ πολέμου τὸν κίνδυνον συνάρασθαι, πέμψαι δὲ τοὺς μιαροὺς εἰς Ἱεροσόλυμα καὶ
272 τὴν παρ' ἐκείνων ἐπάγεσθαι συμμαχίαν; ποίας αὐτοῖς φιλίας ἢ τίνος αὐτοῖς οἰκειότητος προϋπηργμένης; τοὐναντίον γὰρ ἦσαν πολέμιοι καὶ τοῖς ἔθεσι πλεῖστον διέφερον. ὁ δέ φησιν εὐθὺς ὑπακοῦσαι τοῖς ὑπισχνουμένοις, ὅτι τὴν Αἴγυπτον καθέξουσιν, ὥσπερ αὐτῶν οὐ σφόδρα τῆς χώρας ἐμπείρως ἐχόντων, ἧς βιασθέντες
273 ἐκπεπτώκασιν. εἰ μὲν οὖν ἀπόρως ἢ κακῶς ἔπραττον, ἴσως ἂν καὶ παρεβάλλοντο, πόλιν δὲ κατοικοῦντες εὐδαίμονα καὶ χώραν πολλὴν κρείττω τῆς Αἰγύπτου καρπούμενοι, διὰ τί ποτ' ἂν ἐχθροῖς μὲν πάλαι τὰ δὲ σώματα λελωβημένοις, οὓς μηδὲ τῶν οἰκείων οὐδεὶς

---

2 στρατιᾶς] ed. pr. στρατείας L 6 *ait* post μετ' αὐτῶν add. Lat 7 τε om. Lat seclusit Bekker 8 πόλιν om. Lat 9 πάντως] ed. pr. πάντες L *omnes* Lat 10. εἰ δὲ δὴ] *porro si adhuc* Lat, unde εἰ δ' ἔτι coni. ἰδίᾳ μὲν ἄνω] *seorsum magis* Lat ἄνω(h. e. ἀνθρώπω)] L ἂν αὐτῷ ed. pr. ἂν coni. 11 οὐκ ἂν δὲ non placet 12 τοσοῦτοι] ed. pr. τοσοῦτό L 13 αὐτῶν ex corr. L 15 ἐνετράφησαν] *inscripti* Lat Μανεθῷ analogia postulat 18 ὁρκωμοτῆσαι L 19 μέντοι] ed. pr. μὲν L *autem* Lat 20 συναποστῆναι] Bekker συναποστῆσαι L *consensit* Lat 24 ἔθεσι] Hudson ἤθεσι L *moribus* Lat ὁ δὲ — 25 ὑπισχνουμένοις] *et illi inquit repente promissionibus oboediunt* Lat 26 ἐμπείρως, σ ex corr. L

ὑπέμενε, τούτοις ἔμελλον παρακινδυνεύσειν βοηθοῦντες; οὐ γὰρ δή
γε τὸν γενησόμενον προήδεσαν δρασμὸν τοῦ βασιλέως· τοὐναντίον 274
γὰρ αὐτὸς εἴρηκεν, ὡς ὁ παῖς τοῦ Ἀμενώφιος τριάκοντα μυριάδας
ἔχων εἰς τὸ Πηλούσιον ὑπηντίαζεν. καὶ τοῦτο μὲν ᾔδεισαν πάντως
οἱ παραγινόμενοι, τὴν δὲ μετάνοιαν αὐτοῦ καὶ τὴν φυγὴν πόθεν
εἰκάζειν ἔμελλον; εἶτα κρατήσαντάς φησι τῆς Αἰγύπτου πολλὰ καὶ 275
δεινὰ δρᾶν τοὺς ἐκ τῶν Ἱεροσολύμων ἐπιστρατεύσαντας καὶ περὶ
τούτων ὀνειδίζει καθάπερ οὐ πολεμίους αὐτοῖς ἐπαγαγὼν ἢ δέον
τοῖς ἔξωθεν ἐπικληθεῖσιν ἐγκαλεῖν, ὁπότε ταῦτα πρὸ τῆς ἐκείνων
ἀφίξεως ἔπραττον καὶ πράξειν ὠμωμόκεσαν οἱ τὸ γένος Αἰγύπτιοι.
ἀλλὰ καὶ χρόνοις ὕστερον Ἀμένωφις ἐπελθὼν ἐνίκησε μάχῃ καὶ 276
κτείνων τοὺς πολεμίους μέχρι τῆς Συρίας ἤλασεν. οὕτω γὰρ παν-
τάπασίν ἐστιν ἡ Αἴγυπτος τοῖς ὁποθενδηποτοῦν ἐπιοῦσιν εὐάλωτος,
καὶ οἱ τότε πολέμῳ κρατοῦντες αὐτὴν ζῆν πυνθανόμενοι τὸν Ἀμέ- 277
νωφιν οὔτε τὰς ἐκ τῆς Αἰθιοπίας ἐμβολὰς ὠχύρωσαν πολλὴν εἰς
τοῦτο παρασκευὴν ἔχοντες οὐτε τὴν ἄλλην ἡτοίμασαν δύναμιν,
ὁ δὲ καὶ μέχρι τῆς Συρίας ἀναιρῶν, φησίν, αὐτοὺς ἠκολούθησε διὰ
τῆς ψάμμου τῆς ἀνύδρου, δῆλον ὅτι οὐ ῥᾴδιον οὐδὲ ἀμαχεὶ στρα-
τοπέδῳ διελθεῖν.

30. Κατὰ μὲν οὖν τὸν Μανεθῶν οὔτε ἐκ τῆς Αἰγύπτου τὸ 278
γένος ἡμῶν ἐστιν οὔτε τῶν ἐκεῖθέν τινες ἀνεμίχθησαν· τῶν γὰρ
λεπρῶν καὶ νοσούντων πολλοὺς μὲν εἰκὸς ἐν ταῖς λιθοτομίαις ἀπο-
θανεῖν πολὺν χρόνον ἐκεῖ γενομένους καὶ κακοπαθοῦντας, πολλοὺς
δ' ἐν ταῖς μετὰ ταῦτα μάχαις, πλείστους δ' ἐν τῇ τελευταίᾳ καὶ
τῇ φυγῇ.

31. Λοιπόν μοι πρὸς αὐτὸν εἰπεῖν περὶ Μωυσέως. τοῦτον 279
δὲ τὸν ἄνδρα θαυμαστὸν μὲν Αἰγύπτιοι καὶ θεῖον νομίζουσι, βού-
λονται δὲ προσποιεῖν αὐτοῖς μετὰ βλασφημίας ἀντιθάνου, λέγοντες
Ἡλιοπολίτην εἶναι τῶν ἐκεῖθεν ἱερέων ἕνα διὰ τὴν λέπραν συνεξ-
ελαμένον. δείκνυται δ' ἐν ταῖς ἀναγραφαῖς ὀκτωκαίδεκα σὺν 280
τοῖς πεντακοσίοις πρότερον ἔτεσι γεγονὼς καὶ τοὺς ἡμετέρους ἐξα-
γαγὼν ἐκ τῆς Αἰγύπτου πατέρας εἰς τὴν χώραν τὴν νῦν οἰκουμένην

---

1 ὑπομένει ed. pr. 2 cf. § 245 3 αὐτὸς] *eis* (h. e. αὐτοῖς) Lat
6 εἶτα] coni. τὰ σιτία L *deinde* Lat ἔπειτα nescio quis apud Hudson φησι] ed. pr. φασι L 9 ταῦτα] τοιαῦτα coni. 10 ὠμωμόκεσαν] ed. pr. ὀμωμόκεσαν L οἱ] ed. pr. ὅτι L οἱ — Αἰγύπτιοι] *qui genere aegyptii essent* Lat
11 *inquit* post ὕστερον add. Lat 12 Συρίας] *assyriam* Lat 13 ὁπόθεν δηποτ' οὖν L 14 οἱ] οἱ μὲν coni. 17 Συρίας] *assyriam* Lat 18 οὐδὲ] ὃν ed. pr. 20 μανεθῶνα LLat 27 δὲ] *enim* Lat 29 ἡλιουπολίτην L *heliopolitanum* Lat συνεξελημένον L, correxit Dindorf

281 ὑφ᾽ ἡμῶν. ὅτι δὲ οὐδὲ συμφορᾷ τινι τοιαύτῃ περὶ τὸ σῶμα κεχρημένος ἦν, ἐκ τῶν λεγομένων ὑπ᾽ αὐτοῦ δῆλός ἐστι· τοῖς γὰρ λεπρῶσιν ἀπείρηκε μήτε μένειν ἐν πόλει μήτ᾽ ἐν κώμῃ κατοικεῖν, ἀλλὰ μόνους περιπατεῖν κατεσχισμένους τὰ ἱμάτια, καὶ τὸν ἁψά-
282 μενον αὐτῶν ἢ ὁμωρόφιον γενόμενον οὐ καθαρὸν ἡγεῖται. καὶ μὴν κἂν θεραπευθῇ τὸ νόσημα καὶ τὴν αὐτοῦ φύσιν ἀπολάβῃ, προείρηκέν τινας ἁγνείας καθαρμοὺς πηγαίων ὑδάτων λουτροῖς καὶ ξυρήσεις πάσης τῆς τριχός, πολλάς τε κελεύει καὶ παντοίας ἐπιτελέσαντα
283 θυσίας τότε παρελθεῖν εἰς τὴν ἱερὰν πόλιν. καίτοι τοὐναντίον εἰκὸς ἦν προνοίᾳ τινὶ καὶ φιλανθρωπίᾳ χρήσασθαι τὸν ἐν τῇ συμφορᾷ
284 ταύτῃ γεγονότα πρὸς τοὺς ὁμοίως αὐτῷ δυστυχήσαντας. οὐ μόνον δὲ περὶ τῶν λεπρῶν οὕτως ἐνομοθέτησεν, ἀλλ᾽ οὐδὲ τοῖς καὶ τὸ βραχύτατόν τι τοῦ σώματος ἠκρωτηριασμένοις ἱερᾶσθαι συγκεχώρηκεν, ἀλλ᾽ εἰ καὶ μεταξύ τις ἱερώμενος τοιαύτῃ χρήσαιτο συμφορᾷ,
285 τὴν τιμὴν αὐτὸν ἀφείλετο. πῶς οὖν εἰκὸς ἐκεῖνον ταῦτα νομοθετεῖν ἀνοήτως ἀπὸ τοιούτων συμφορῶν συνειλεγμένους πρόεσθαι καθ᾽
286 ἑαυτῶν εἰς ὄνειδός τε καὶ βλάβην νόμους συντιθεμένους; ἀλλὰ μὴν καὶ τοὔνομα λίαν ἀπιθάνως μετατέθεικεν· Ὀσαρσὴφ γάρ, φησίν, ἐκαλεῖτο. τοῦτο μὲν οὖν εἰς τὴν μετάθεσιν οὐκ ἐναρμόζει, τὸ δ᾽ ἀληθὲς ὄνομα δηλοῖ τὸν ἐκ τοῦ ὕδατος σωθέντα [Μωσῆν]· τὸ γὰρ
287 ὕδωρ οἱ Αἰγύπτιοι μῶϋ καλοῦσιν. ἱκανῶς οὖν γεγονέναι νομίζω καὶ δῆλον δ᾽ ὅτι Μανεθὼς ἕως μὲν ἠκολούθει ταῖς ἀρχαίαις ἀναγραφαῖς οὐ πολὺ τῆς ἀληθείας διημάρτανεν, ἐπὶ δὲ τοὺς ἀδεσπότους μύθους τραπόμενος ἢ συνέθηκεν αὐτοὺς ἀπιθάνως ἤ τισι τῶν πρὸς ἀπέχθειαν εἰρηκότων ἐπίστευσεν.

---

2 ἐκ τῶν — αὐτοῦ] *ex ipsis rebus* Lat δῆλός ἐστι] δῆλόν ἐστι Hudson *agnoscitur* Lat 3 πόλει] *ciuitatibus* Lat κώμῃ] *uicubus* Lat 5 ὁμώροφον ed. pr. *uescentes cum eis* Lat 7 *atque* ante καθαρμοὺς add. Lat 8 πολλά L 9 καίτοι] ed. pr. καὶ L *cum (— esset credibile)* Lat 11 ὁμοίως] ed. pr. ὁμοίους LLat 14 τις ἱερώμενος] ed. pr. τισιν ἐρώμενος L[1] τισιν ἕρωμένος ex corr. L χρήσαιτο] ed. pr. χρήσατο L 15 πῶς — 17 συντιθεμένους] *quo modo ergo credibile est illum haec stulte sancxisse, qui fuerat huiusmodi calamitatibus inuolutus et contra se ad obprobrium et laesionem tales exposuisse leges* Lat ἐκεῖνον] ἢ ᾽κεῖνον coni. τοιαῦτα coni. 16 ἀνοήτως — πρόεσθαι] om. ed. pr., unum uersum efficiunt in L ἀνοήτως] ἀνοήτως, ἢ τοὺς coni., nisi praestat solum ἢ τοὺς πρόεσθαι] προσέσθαι coni. καθ᾽ ἑαυτοῦ ed. pr. 17 συντεθειμένους coni. 18 Ὀσαρσὴφ] ed. pr. ὀαρσὴφ L *arsifas* cod. Can. *osarsifas* cod. Corsin. Lat 19 οὐκ om. Lat τὸ δ᾽ — 21 καλοῦσιν om. Lat 20 *Μωσῆν* spurium uid. 21 οὖν] οὖν] . . . L 22 καὶ δῆλον] κατάδηλον Bekker δ᾽ om. ed. pr., fort. antea aliquid excidit *mωnethon* Lat 23 ἐπεὶ ex corr. L

32. *Μετὰ τοῦτον ἐξετάσαι βούλομαι Χαιρήμονα· καὶ γὰρ οὗτος* 288
Αἰγυπτιακὴν φάσκων ἱστορίαν συγγράφειν καὶ προσθεὶς ταὐτὸ
ὄνομα τοῦ βασιλέως ὅπερ ὁ Μανεθὼς Ἀμένωφιν καὶ τὸν υἱὸν
αὐτοῦ Ῥαμεσσήν, φησὶν ὅτι κατὰ τοὺς ὕπνους ἡ Ἶσις ἐφάνη τῷ 289
Ἀμενώφει μεμφομένη αὐτόν, ὅτι τὸ ἱερὸν αὐτῆς ἐν τῷ πολέμῳ
κατέσκαπται. Φριτιβαύτην δὲ ἱερογραμματέα φάναι, ἐὰν τῶν τοὺς
μολυσμοὺς ἐχόντων ἀνδρῶν καθάρῃ τὴν Αἴγυπτον, παύσεσθαι τῆς
πτοίας αὐτόν. ἐπιλέξαντα δὲ τῶν ἐπισινῶν μυριάδας εἰκοσιπέντε 290
ἐκβαλεῖν. ἡγεῖσθαι δ' αὐτῶν γραμματέας Μωσῆν τε καὶ Ἰώσηπον
καὶ τοῦτον ἱερογραμματέα, Αἰγύπτια δ' αὐτοῖς ὀνόματα εἶναι τῷ
μὲν Μωσῇ Τισιθέν, τῷ δὲ Ἰωσήπῳ Πετεσήφ. τούτους δ' εἰς 291
Πηλούσιον ἐλθεῖν καὶ ἐπιτυχεῖν μυριάσι τριακονταοκτὼ καταλε-
λειμμέναις ὑπὸ τοῦ Ἀμενώφιος, ἃς οὐ θέλειν εἰς τὴν Αἴγυπτον
διακομίζειν· οἷς φιλίαν συνθεμένους ἐπὶ τὴν Αἴγυπτον στρατεῦσαι.
τὸν δὲ Ἀμένωφιν οὐχ ὑπομείναντα τὴν ἔφοδον αὐτῶν εἰς Αἰθιο- 292
πίαν φυγεῖν καταλιπόντα τὴν γυναῖκα ἔγκυον, ἣν κρυβομένην ἔν
τισι σπηλαίοις τεκεῖν παῖδα ὄνομα Ῥαμέσσην, ὃν ἀνδρωθέντα
ἐκδιῶξαι τοὺς Ἰουδαίους εἰς τὴν Συρίαν ὄντας περὶ εἴκοσι μυριάδας
καὶ τὸν πατέρα Ἀμένωφιν ἐκ τῆς Αἰθιοπίας καταδέξασθαι.

33. *Καὶ ταῦτα μὲν ὁ Χαιρήμων. οἶμαι δὲ αὐτόθεν φανερὰν* 293
εἶναι ἐκ τῶν εἰρημένων τὴν ἀμφοῖν ψευδολογίαν· ἀληθείας μὲν γάρ
τινος ὑποκειμένης ἀδύνατον ἦν διαφωνεῖν ἐπὶ τοσοῦτον, οἱ δὲ τὰ
ψευδῆ συντιθέντες οὐχ ἑτέροις σύμφωνα γράφουσιν, ἀλλ' αὐτοῖς τὰ
δόξαντα πλάττουσιν. ἐκεῖνος μὲν οὖν ἐπιθυμίαν τοῦ βασιλέως, ἵνα 294
τοὺς θεοὺς ἴδῃ, φησὶν ἀρχὴν γενέσθαι τῆς τῶν μιαρῶν ἐκβολῆς,
ὁ δὲ Χαιρήμων ἴδιον ὡς τῆς Ἴσιδος ἐνύπνιον συντέθεικε. κἀκεῖνος 295
μὲν Ἀμένωφιν εἶναι λέγει τὸν προειπόντα τῷ βασιλεῖ τὸν καθαρ-
μόν, οὗτος δὲ Φριτοβαύτην· ὁ δὲ δὴ τοῦ πλήθους ἀριθμὸς καὶ
σφόδρα σύνεγγυς, ὀκτὼ μὲν μυριάδας ἐκείνου λέγοντος, τούτου δὲ
πέντε πρὸς ταῖς εἴκοσιν. ἔτι τοίνυν ὁ μὲν Μανεθὼς πρότερον εἰς 296
τὰς λιθοτομίας τοὺς μιαροὺς ἐκβαλὼν εἶτα αὐτοῖς τὴν Ἄυαριν

---

1 *cherimonem* Lat 3 *manethon* Lat 6 *fritobautis* Lat *φριτιφάντην* ed. pr., cf. § 295 7 *παύσεσθαι*] coni. *παύσασθαι* L 8 *πτοίας*] ed. pr. *πτόας* L *timor* Lat *μυριάδας εἰκοσιπέντε*] *CCCL* Lat 9 *moysen* Lat *μωϋσῆν* ed. pr. recte 10 *τῷ μὲν — Πετεσήφ*] *quorum uni quidem ponit moisen, ioseph autem peteseph* Lat 11 *μωϋσῆ* ed. pr. 14 *οἷς*] ed. pr. *εἰσ* L 16 *κρυπτομένην* ed. pr. 17 *Ῥαμέσσην*] Lat et cod. Eliensis *μεσσήν* L *μεσσήνην* ed. pr. *ἀνδρωθέντα*] *decreuisse* Lat corrupte ut uid. 19 *καταδέξασθαι*] i. marg. *γρ ἀναδέξασθαι* L 26 *ἴδιον ὡς*] *quasi proprium* Lat *ἰδίων, ὃς* coni. 28 *φριτιφάντην* ed. pr. 30 *manethon* Lat *ἐμβαλὼν* coni.

δοὺς ἐγκατοικεῖν καὶ τὰ πρὸς τοὺς ἄλλους Αἰγυπτίους ἐκπολεμώσας
τότε φησὶν ἐπικαλέσασθαι τὴν παρὰ τῶν Ἱεροσολυμιτῶν αὐτοὺς
297 ἐπικουρίαν, ὁ δὲ Χαιρήμων ἀπαλλαττομένους ἐκ τῆς Αἰγύπτου
περὶ Πηλούσιον εὑρεῖν ὀκτὼ καὶ τριάκοντα μυριάδας ἀνθρώπων
καταλελειμμένας ὑπὸ τοῦ Ἀμενώφιος καὶ μετ' ἐκείνων πάλιν εἰς
τὴν Αἴγυπτον ἐμβαλεῖν, φεύγειν δὲ τὸν Ἀμένωφιν εἰς τὴν Αἰθιο-
298 πίαν. τὸ δὲ δὴ γενναιότατον, οὐδὲ τίνες ἢ πόθεν ἦσαν αἱ τοσαῦται
τοῦ στρατοῦ μυριάδες εἴρηκεν εἴτε Αἰγύπτιοι τὸ γένος εἴτ' ἔξωθεν
ἥκοντες, ἀλλ' οὐδὲ τὴν αἰτίαν διεσάφησε, δι' ἣν αὐτοὺς ὁ βασιλεὺς
εἰς τὴν Αἴγυπτον ἀνάγειν οὐκ ἠθέλησεν, ὁ περὶ τῶν λεπρῶν τὸ
299 τῆς Ἴσιδος ἐνύπνιον συμπλάσας. τῷ δὲ Μωσεῖ καὶ τὸν Ἰώσηπον
ὁ Χαιρήμων ὡς ἐν ταὐτῷ χρόνῳ συνεξηλελαμένον προστέθεικεν
τὸν πρὸ Μωυσέως πρεσβύτερον τέσσαρσι γενεαῖς τετελευτηκότα, ὧν
300 ἐστιν ἔτη σχεδὸν ἑβδομήκοντα καὶ ἑκατόν. ἀλλὰ μὴν ὁ Ῥαμέσσης
ὁ τοῦ Ἀμενώφιος υἱὸς κατὰ μὲν τὸν Μανεθὼν νεανίας συμπο-
λεμεῖ τῷ πατρὶ καὶ συνεκπίπτει φυγὼν εἰς τὴν Αἰθιοπίαν, οὗτος
δὲ πεποίηκεν αὐτὸν μετὰ τὴν τοῦ πατρὸς τελευτὴν ἐν σπηλαίῳ
τινὶ γεγενημένον καὶ μετὰ ταῦτα νικῶντα μάχῃ καὶ τοὺς Ἰουδαίους
301 εἰς Συρίαν ἐξελαύνοντα τὸν ἀριθμὸν ὄντας περὶ μυριάδας κ'. ὧ
τῆς εὐχερείας· οὔτε γὰρ πρότερον οἵτινες ἦσαν αἱ τριάκοντα καὶ
ὀκτὼ μυριάδες εἶπεν οὔτε πῶς αἱ εἴκοσι καὶ τρεῖς διεφθάρησαν,
πότερον ἐν τῇ μάχῃ κατέπεσον ἢ πρὸς τὸν Ῥαμεσσῆ μετεβάλοντο.
302 τὸ δὲ δὴ θαυμασιώτατον, οὐδὲ τίνας καλεῖ τοὺς Ἰουδαίους δυνα-
τόν ἐστι παρ' αὐτοῦ μαθεῖν ἢ ποτέροις αὐτοῖς τίθεται ταύτην
τὴν προσηγορίαν, ταῖς κε' μυριάσι τῶν λεπρῶν ἢ ταῖς η' καὶ λ'
303 ταῖς περὶ τὸ Πηλούσιον. ἀλλὰ γὰρ εὔηθες ἴσως ἂν εἴη διὰ πλειό-
νων ἐλέγχειν τοὺς ὑφ' ἑαυτῶν ἐληλεγμένους· τὸ γὰρ ὑπ' ἄλλων
ἦν μετριώτερον.

304 34. Ἐπεισάξω δὲ τούτοις Ἀυσίμαχον εἰληφότα μὲν τὴν αὐ-
τὴν τοῖς προειρημένοις ὑπόθεσιν τοῦ ψεύσματος περὶ τῶν λεπρῶν

---

1 καὶ τὰ — ἐκπολεμώσας] *eo dum circa hora* (*horam* cod. Canon.) *contra* (om. Canon.) *aegyptios pugnatum fuerit* Lat ἐκπολεμώσας] ed. pr. ἐκπολεμῆσαι L 2 *cherimon* Lat 6 φυγεῖν ed. pr. *fugisse* Lat 10 ἀνάγειν] ἀγαγεῖν ed. pr. 11 *moise* Lat μωϋσεῖ ed. pr. 12 συνεξεληλασμένον L, corr. Dindorf 14 ἑβδομήκοντα] *octuaginta* Lat Ῥαμέσσης] ed. pr. ραμεσσὴν L *ramessis* Lat 15 *manethonem* Lat *Μανεθῶνα* Hudson 21 εἴκοσι] τεσσαράκοντα ed. pr., cf. supra § 291 sq. 22 κατέπεσον] ed. pr. κατέπεσαν L ῥαμεσσὴ L *ramessin* Lat ῥαμέσσην ed. pr. 23 δὴ suspectum 24 ἢ ποτέροις αὐτοῖς] *utrum illis prioribus* Lat αὐτοῖς] αὐτῶν ed. pr., mihi suspectum uid. 29 ἐπεισάξω] ed. pr. ἐπισάξω L *introducam* Lat 30 περὶ — 51, 1 λελωβημένων om. ed. pr.

καὶ λελωβημένων, ὑπερπεπαικότα δὲ τὴν ἐκείνων ἀπιθανότητα τοῖς πλάσμασι, δῆλος συντεθεικὼς κατὰ πολλὴν απέχθειαν· λέγει γὰρ 305 ἐπὶ Βοχχόρεως τοῦ Αἰγυπτίων βασιλέως τὸν λαὸν τῶν Ἰουδαίων λεπροὺς ὄντας καὶ ψωροὺς καὶ ἄλλα νοσήματά τινα ἐχόντων εἰς τὰ ἱερὰ καταφεύγοντας μεταιτεῖν τροφήν. παμπόλλων δὲ ἀνθρώπων νοσηλείᾳ περιπεσόντων ἀκαρπίαν ἐν τῇ Αἰγύπτῳ γενέσθαι. Βόχχοριν δὲ τὸν τῶν Αἰγυπτίων βασιλέα εἰς Ἄμμωνος πέμψαι 306 περὶ τῆς ἀκαρπίας τοὺς μαντευσομένους, τὸν θεὸν δὲ ἐρεῖν τὰ ἱερὰ καθᾶραι ἀπ᾽ ἀνθρώπων ἀνάγνων καὶ δυσσεβῶν ἐκβάλλοντα αὐτοὺς ἐκ τῶν ἱερῶν εἰς τόπους ἐρήμους, τοὺς δὲ ψωροὺς καὶ λεπροὺς βυθίσαι, ὡς τοῦ ἡλίου ἀγανακτοῦντος ἐπὶ τῇ τούτων ζωῇ, καὶ τὰ ἱερὰ ἁγνίσαι καὶ οὕτω τὴν γῆν καρποφορήσειν. τὸν δὲ 307 Βόκχοριν τοὺς χρησμοὺς λαβόντα τούς τε ἱερεῖς καὶ ἐπιβωμίτας προσκαλεσάμενον κελεῦσαι ἐπιλογὴν ποιησαμένους τῶν ἀκαθάρτων τοῖς στρατιώταις τούτους παραδοῦναι κατάξειν αὐτοὺς εἰς τὴν ἔρημον, τοὺς δὲ λεπροὺς εἰς μολιβδίνους χάρτας ἐνδήσαντας, ἵνα καθῶσιν εἰς τὸ πέλαγος. βυθισθέντων δὲ τῶν λεπρῶν καὶ ψωρῶν 308 τοὺς ἄλλους συναθροισθέντας εἰς τόπους ἐρήμους ἐκτεθῆναι ἐπ᾽ ἀπωλείᾳ, συναχθέντας δὲ βουλεύσασθαι περὶ αὐτῶν, νυκτὸς δὲ ἐπιγενομένης πῦρ καὶ λύχνους καύσαντας φυλάττειν ἑαυτοὺς τήν τ᾽ ἐπιοῦσαν νύκτα νηστεύσαντας ἱλάσκεσθαι τοὺς θεοὺς περὶ τοῦ σῶσαι αὐτούς. τῇ δ᾽ ἐπιούσῃ ἡμέρᾳ Μωσῆν τινα συμβουλεῦσαι 309 αὐτοῖς παραβαλλομένοις μίαν ὁδὸν τέμνειν ἄχρι ἂν ὅτου ἔλθωσιν εἰς τόπους οἰκουμένους, παρακελεύσασθαί τε αὐτοῖς μήτε ἀνθρώπων τινὶ εὐνοήσειν μήτε ἄριστα συμβουλεύσειν ἀλλὰ τὰ χείρονα θεῶν τε ναοὺς καὶ βωμούς, οἷς ἂν περιτύχωσιν, ἀνατρέπειν. συναι- 310 νεσάντων δὲ τῶν ἄλλων τὰ δοχθέντα ποιοῦντας διὰ τῆς ἐρήμου

---

2 *δῆλος — ἀπέχθειαν*] *quae multo odio composuisse dinoscitur* Lat *δῆλος*] *δ* ex *ν* corr. L *δὶ ὃ καὶ δῆλός ἐστι* ed. pr. 3 *βοχχόρεως* ed. pr. *bochore* Lat *τὸν λαὸν — 4 ἐχόντων*] *quosdam ex populo iudaeorum qui erant leprosi et scabie pleni aliisque uexati langoribus* Lat 4 *ἔχοντας* ed. pr. et fort. Lat 6 *νοσηλίᾳ* L, corr. Bekker 7 *βόκχοριν* ed. pr. *Ἄμμωνος*] *ἄμμωνα* L *ammonem* Lat; *Ἄμμωνος* hic in mss. esse ait Hudson errans cf. § 312 8 *ἐρεῖν*] *respondisse* Lat *εἰπεῖν* ed. pr. *ἀνελεῖν* coni. 9 *ἐκβαλόντα* ed. pr. 15 *κατάξειν — ἔρημον* om. Lat, fort. recte; certe *κατάξειν* ferri nequit 16 *μολιβδίνους* L *καθῶσιν*] *mergerentur* Lat *καθεθῶσιν* coni. 19 *αὐτῶν* L, corr. Hudson 22 *moysen* Lat *μωυσῆν* ed. pr. 23 *παραβαλλομένους* ed. pr. *properantes* Lat *ἄχρις* ed. pr. *ὅτου* om. ed. pr. 25 *εὐνοῆσαι* et *συμβουλεῦσαι* coni. *μήτε*] *μηδὲ* Bekker recte ut uid. *μήτε ἄριστα — χείρονα*] *neque bona suadentibus adquiescerent sed pessima quaeque facerent* Lat 27 *τῶν ἄλλων*] *cunctis* Lat

πορεύεσθαι, ἱκανῶς δὲ ὀχληθέντας ἐλθεῖν εἰς τὴν οἰκουμένην χώραν καὶ τούς τε ἀνθρώπους ὑβρίζοντας καὶ τὰ ἱερὰ συλῶντας καὶ ἐμπρήσαντας ἐλθεῖν εἰς τὴν νῦν Ἰουδαίαν προσαγορευομένην, κτίσαντας
311 δὲ πόλιν ἐνταῦθα κατοικεῖν. τὸ δὲ ἄστυ τοῦτο Ἱερόσυλα ἀπὸ τῆς ἐκείνων διαθέσεως ὠνομάσθαι. ὕστερον δ' αὐτοὺς ἐπικρατήσαντας χρόνῳ διαλλάξαι τὴν ὀνομασίαν πρὸς τὸ ὀνειδίζεσθαι καὶ τήν τε πόλιν Ἱεροσόλυμα καὶ αὐτοὺς Ἱεροσολυμίτας προσαγορεύεσθαι.
312 35. Οὗτος οὐδὲ τὸν αὐτὸν ἐκείνοις εὗρεν εἰπεῖν βασιλέα, καινότερον δ' ὄνομα συντέθεικεν καὶ παρεὶς ἐνύπνιον καὶ προφήτην Αἰγύπτιον εἰς Ἄμμωνος ἀπελήλυθεν περὶ τῶν ψωρῶν καὶ λεπρῶν
313 χρησμὸν οἴσων· φησὶ γὰρ εἰς τὰ ἱερὰ συλλέγεσθαι πλῆθος Ἰουδαίων. ἆρά γε τοῦτο τοῖς λεπροῖς ὄνομα θέμενος ἢ μόνον τῶν Ἰουδαίων τοῖς νοσήμασι περιπεσόντων; λέγει γάρ „ὁ λαὸς τῶν
314 Ἰουδαίων." ὁποῖος; ἔπηλυς ἢ τὸ γένος ἐγχώριος; διὰ τί τοίνυν Αἰγυπτίους αὐτοὺς ὄντας Ἰουδαίους καλεῖς; εἰ δὲ ξένοι, διὰ τί πόθεν οὐ λέγεις; πῶς δὲ τοῦ βασιλέως πολλοὺς μὲν αὐτῶν βυθίσαντος εἰς τὴν θάλασσαν, τοὺς δὲ λοιποὺς εἰς ἐρήμους τόπους
315 ἐκβαλόντος, τοσοῦτοι τὸ πλῆθος ὑπελείφθησαν; ἢ τίνα τρόπον διεξῆλθον μὲν τὴν ἔρημον, ἐκράτησαν δὲ τῆς χώρας ἧς νῦν κατοικοῦμεν, ἔκτισαν δὲ καὶ πόλιν καὶ νεὼν ᾠκοδομήσαντο πᾶσι περι-
316 βόητον; ἐχρῆν δὲ καὶ τοῦ νομοθέτου μὴ μόνον εἰπεῖν τοὔνομα, δηλῶσαι δὲ καὶ τὸ γένος ὅστις ἦν καὶ τίνων, διὰ τί δὲ τοιούτους [ἂν] αὐτοῖς ἐπεχείρησε τιθέναι νόμους περὶ θεῶν καὶ τῆς πρὸς
317 ἀνθρώπους ἀδικίας κατὰ τὴν πορείαν. εἴτε γὰρ Αἰγύπτιοι τὸ γένος ἦσαν, οὐκ ἂν ἐκ τῶν πατρίων ἐθῶν οὕτω ῥᾳδίως μετεβάλοντο, εἴτ' ἀλλαχόθεν ἦσαν, πάντως τινὲς ὑπῆρχον αὐτοῖς νόμοι
318 διὰ μακρᾶς συνηθείας πεφυλαγμένοι. εἰ μὲν οὖν περὶ τῶν ἐξελα-

---

2 καὶ ἐμπρήσαντας om. Lat 4 τὸ δὲ — 5 ὠνομάσθαι] *quae urbs appellata est a templorum spoliatione hierosolyma ex illorum qualitate denominata est* Lat Ἱερόσυλα] ed. pr. ἱεροσόλυμα L 5 ὠνομάσθαι] ed. pr. ὠνόμασται L 6 χρόνῳ] *multa tempora* Lat πρὸς τὸ ὀνειδίζεσθαι] *propter obprobrium* Lat πρὸς τὸ μὴ ὀνειδίζεσθαι Hudson 7 Ἱεροσολυμίτας] coni. *hierosolymitae* Lat ἱεροσολύμους L *uocati sunt* Lat 8 Οὗτος] *iste siquidem* Lat, unde οὗτος οὖν coni. καινότερον] ed. pr. κενότερον L *nouum* Lat 9 παρεὶς — 10 ἀπελήλυθεν] *introducens ueluti somnium etiam prophetam aegyptium dicit ad ammonem destinatum* Lat 11 χρησμὸν, ὸ ex ῶ corr. L 12 ἢ — 13 περιπεσόντων] *an certe solummodo iudeis et qui in langores inciderant* Lat μόνων ed. pr. τῶν fort. spurium 13 περιπεσοῦσι coni. 20 νεὼν] ed. pr. νεὼ L 21 τοῦ νομοθέτου] ex Lat περὶ τοῦ νομοθέτου L 23 ἂν spurium 24 κατὰ τὴν πορείαν om. Lat 27 μακρῆς L, corr. Oberthür

σάντων αὐτοὺς ὤμοσαν μηδέποτε εὐνοήσειν, λόγον εἶχεν εἰκότα, πᾶσι δὲ πόλεμον ἀνθρώποις ἀκήρυκτον ἄρασθαι τούτους, εἴπερ ἔπραττον ἃ ς αὐτὸς λέγει κακῶς, παρὰ πάντων βοηθείας δεομένους ἄνοιαν οὐκ ἐκείνων, ἀλλὰ τοῦ ψευδομένου πάνυ πολλὴν παρίστησιν, ὅς γε καὶ τοὔνομα θέσθαι τῇ πόλει ἀπὸ τῆς ἱεροσυλίας αὐτοὺς ἐτόλμησεν εἰπεῖν, τοῦτο δὲ μετὰ ταῦτα παρατρέψαι· δῆλον 319
γάρ, ὅτι τοῖς μὲν ὕστερον γενομένοις αἰσχύνην τοὔνομα καὶ μῖσος ἔφερεν, αὐτοὶ δ᾽ οἱ κτίζοντες τὴν πόλιν κοσμήσειν αὐτοὺς ὑπελάμβανον οὕτως ὀνομάσαντες. ὁ δὲ γενναῖος ὑπὸ πολλῆς τοῦ λοιδορεῖν ἀκρασίας οὐ συνῆκεν, ὅτι ἱεροσυλεῖν οὐ κατὰ τὴν αὐτὴν φωνὴν Ἰουδαῖοι τοῖς Ἕλλησιν ὀνομάζομεν. τί οὖν ἐπὶ πλείω τις λέγοι πρὸς 320
τὸν ψευδόμενον οὕτως ἀναισχύντως; ἀλλ᾽ ἐπειδὴ σύμμετρον ἤδη τὸ βιβλίον εἴληφε μέγεθος, ἑτέραν ποιησάμενος ἀρχὴν τὰ λοιπὰ τῶν εἰς τὸ προκείμενον πειράσομαι προσαποδοῦναι.

---

5 ἀπὸ τῆς ἱεροσυλίας] αποτθσιερωσυλετασ *id est a templorum spoliatione* Lat αὐτοὺς] ed. pr. αὐτοῦ L, om. Lat 6 δῆλον γάρ] *miranda res* Lat 7 γενησομένοις coni. 8 αὐτοὺς Hudson *semetipsos* Lat 9 τοῦ] τῆς τοῦ coni. 10 ἱεροσυλεῖν] *hierosolin* Lat 11 ἐπὶ πλείω] *amplius* Lat ἔτι πλείω ed. pr. λέγοι] ἂν λέγοι coni.

Φλαΐου Ἰωσήπου περὶ ἀρχαιότητος ἀντιρρητικὸς λόγος β'.

1. Διὰ μὲν οὖν τοῦ προτέρου βιβλίου, τιμιώτατέ μοι Ἐπαφρόδιτε, περί τε τῆς ἀρχαιότητος ἡμῶν ἐπέδειξα τοῖς Φοινίκων καὶ Χαλδαίων καὶ Αἰγυπτίων γράμμασι πιστωσάμενος τὴν ἀλήθειαν καὶ πολλοὺς τῶν Ἑλλήνων συγγραφεῖς παρασχόμενος μάρτυρας, τήν τε ἀντίρρησιν ἐποιησάμην πρὸς Μανεθὼν καὶ Χαιρήμονα
2 καί τινας ἑτέρους. ἄρξομαι δὲ νῦν τοὺς ὑπολειπομένους τῶν γεγραφότων τι καθ' ἡμῶν ἐλέγχειν καὶ τοῖς τῆς πρὸς Ἀπίωνα τὸν γραμματικὸν ἀντιρρήσεως τετολμημένοις ἐπῆλθέ μοι διαπορεῖν, εἰ
3 χρὴ σπουδάσαι· τὰ μὲν γάρ ἐστι τῶν ὑπ' αὐτοῦ γεγραμμένων τοῖς ὑπ' ἄλλων εἰρημένοις ὅμοια, τὰ δὲ λίαν ψυχρῶς προστέθεικεν, τὰ πλεῖστα δὲ βωμολοχίαν ἔχει καὶ πολλήν, εἰ δεῖ τἀληθὲς εἰπεῖν, ἀπαιδευσίαν ὡς ἂν ὑπ' ἀνθρώπου συγκείμενα καὶ φαύλου τὸν τρό-
4 πον καὶ παρὰ πάντα τὸν βίον ὀχλαγωγοῦ γεγονότος. ἐπεὶ δ' οἱ πολλοὶ τῶν ἀνθρώπων διὰ τὴν αὐτῶν ἄνοιαν ὑπὸ τῶν τοιούτων ἁλίσκονται λόγων μᾶλλον ἢ τῶν μετά τινος σπουδῆς γεγραμμένων, καὶ χαίρουσι μὲν ταῖς λοιδορίαις, ἄχθονται δὲ τοῖς ἐπαίνοις, ἀναγ-
5 καῖον ἡγησάμην εἶναι μηδὲ τοῦτον ἀνεξέταστον καταλιπεῖν κατηγορίαν ἡμῶν ἄντικρυς ὡς ἐν δίκῃ γεγραφότα. καὶ γὰρ αὖ κἀκεῖνο τοῖς πολλοῖς ἀνθρώποις ὁρῶ παρακολουθοῦν, τὸ λίαν ἐφήδεσθαι ὅταν τις ἀρξάμενος βλασφημεῖν ἕτερον αὐτὸς ἐλέγχηται περὶ τῶν
6 αὐτῷ προσόντων κακῶν. ἔστι μὲν οὖν οὐ ῥάδιον αὐτοῦ διελθεῖν τὸν λόγον οὐδὲ σαφῶς γνῶναι, τί λέγειν βούλεται, σχεδὸν δ' ὡς ἐν πολλῇ ταραχῇ καὶ ψευσμάτων συγχύσει τὰ μὲν εἰς τὴν ὁμοίαν

Φλαΐου — β'] om. Lat 5 *μανεθῶνα* LLat 7 *καὶ τοῖς*] *καίτοι περὶ* ed. pr. *καὶ τοῖς — 9 σπουδάσαι*] *impulsus enim sum contra apionem respondere grammaticum, si tamen assumi hoc oportet officium* Lat; aliquid excidisse puto; uid. enim Iosephus exposuisse, quo in libro Apio in Iudaeos inuectus sit 8 *τετολμημένοις* om. ed. pr. 14 *αὐτῶν* om. ed. pr.

ἰδέαν πίπτει τοῖς προεξητασμένοις περὶ τῆς ἐξ Αἰγύπτου τῶν ἡμε- 7
τέρων προγόνων μεταναστάσεως, τὰ δ' ἐστὶ κατηγορία τῶν ἐν Ἀλε-
ξανδρείᾳ κατοικούντων Ἰουδαίων. τρίτον δ' ἐπὶ τούτοις μέμικται
περὶ τῆς ἁγιστείας τῆς κατὰ τὸ ἱερὸν ἡμῶν καὶ τῶν ἄλλων νομί-
μων κατηγορία.

2. Ὅτι μὲν οὖν οὔτε Αἰγύπτιοι τὸ γένος ἦσαν ἡμῶν οἱ πα- 8
τέρες οὔτε διὰ λύμην σωμάτων ἢ τοιαύτας ἄλλας συμφοράς τινας
ἐκεῖθεν ἐξηλάθησαν, οὐ μετρίως μόνον, ἀλλὰ καὶ πέρα τοῦ συμ-
μέτρου προαποδεδεῖχθαι νομίζω. περὶ ὧν δὲ προστίθησιν ὁ Ἀπίων
ἐπιμνησθήσομαι συντόμως. φησὶ γὰρ ἐν τῇ τρίτῃ τῶν Αἰγυπτια- 10
κῶν τάδε· „Μωσῆς, ὡς ἤκουσα παρὰ τῶν πρεσβυτέρων τῶν Αἰ-
γυπτίων, ἦν Ἡλιοπολίτης, ὃς πατρίοις ἔθεσι κατηγγυημένος αἰ-
θρίους προσευχὰς ἀνῆγεν εἰς οἴους εἶχεν ἥλιος περιβόλους, πρὸς
ἀφηλιώτην δὲ πάσας ἀπέστρεφεν· ὧδε γὰρ καὶ Ἡλίου κεῖται πόλις.
ἀντὶ δὲ ὀβελῶν ἔστησε κίονας, ὑφ' οἷς ἦν ἐκτύπωμα σκάφη, σκιὰ 11
δ' ἀνδρὸς ἐπ' αὐτὴν διακειμένη, ὡς ὅτι ἐν αἰθέρι τοῦτον ἀεὶ τὸν
δρόμον ἡλίῳ συμπεριπολεῖ.“ τοιαύτη μέν τις ἡ θαυμαστὴ τοῦ 12
γραμματικοῦ φράσις· τὸ δὲ ψεῦσμα λόγων οὐ δεόμενον, ἀλλ' ἐκ
τῶν ἔργων περιφανές· οὔτε γὰρ αὐτὸς Μωσῆς, ὅτε τὴν πρώτην
σκηνὴν τῷ θεῷ κατεσκεύασεν, οὐθὲν ἐκτύπωμα τοιοῦτον εἰς αὐτὴν
ἐνέθηκεν οὐδὲ ποιεῖν τοῖς ἔπειτα προσέταξεν, ὅ τε μετὰ ταῦτα
κατασκευάσας τὸν ναὸν τὸν ἐν Ἱεροσολύμοις Σολομὼν πάσης ἀπέ-
σχετο τοιαύτης περιεργίας οἵαν συμπέπλεκεν Ἀπίων. ἀκοῦσαι δέ 13
φησι τῶν πρεσβυτέρων, ὅτι Μωσῆς ἦν Ἡλιοπολίτης, δῆλον ὅτι
νεώτερος μὲν ὢν αὐτός, ἐκείνοις δὲ πιστεύσας τοῖς διὰ τὴν ἡλικίαν
ἐπισταμένοις αὐτὸν καὶ συγγενομένοις. καὶ περὶ μὲν Ὁμήρου τοῦ 14

---

1 *προεξετασμένοισ* L, corr. ed. pr. *uti reor* post *προεξητασμένοις* add. Lat 4 *ἁγιστείας*] Dindorf *ἁγιστίασ* L 5 *κατηγορία*] Bekker *κατηγορίασ* LLat 8 *ἐξηλάσθησαν* L¹ *μετρίως*] om. i. marg. suppl. m. 2 (adiecta notula inter *οὐ* et *μόνον*) L *sufficienter* (h. e. *ἱκανῶς*) Lat 9 *προαπε|δεῖχθαι* L¹ 11 *moyses* Lat 12 *ἡλιουπολίτησ* L *heliopolitanus de ciuitate solis* Lat *πα-τρίοισ, ι* (ante *σ*) i. ras. L *κατηγγυημένος*] *eruditus* Lat *αἰθρίους*] *subdi-uales ac montanas* Lat 13 *εἰς* — 14 *ἀπέστρεφεν*] *templa enim quae habuit haec ciuitas omnia contra subsolanum conuertit* Lat *ἥλιος*] *ἡ πόλις* ed. pr. 14 *πᾶσαν* ed. pr. 15 *ἀντὶ* — 17 *συμπεριπολεῖ*] *pro obeliscis autem columnas statuit, in quibus figuram scaphae fecit, ut umbram sub aethere solis circuitione seruaret* L *σκάφης* Huetius 16 *ἀνδρὸς*] *ἀπ' ἄκρων* Huetius *ὅτι*] *ὃν* Huetius 19 *moyses* Lat 20 *οὐθ' ἓν* L 21 *οὐδὲ*] Bekker *οὔτε* L 22 *salomon* Lat 23 *οἵαν*] *quam* Lat *συμπέπλακεν* coni. 24 *moyses* Lat *ἦν Ἡλιοπολίτης*] coni. *heliopolitanus fuit* Lat *ὁ ἡλιουπολίτησ* L 26 *καὶ*] *considerandum est utrum sit uerisimile* Lat

ποιητοῦ γραμματικὸς ὢν αὐτὸς οὐκ ἂν ἔχοι, τίς αὐτοῦ πατρίς ἐστι, διαβεβαιωσάμενος εἰπεῖν οὐδὲ περὶ Πυθαγόρου μόνον οὐκ ἐχθὲς καὶ πρῴην γεγονότος, περὶ δὲ Μωσέως τοσούτῳ πλήθει προάγοντος ἐκείνους ἐτῶν οὕτως ἀποφαίνεται ῥᾳδίως πιστεύων ἀκοῇ πρεσβυτέρων, ὡς δῆλός ἐστι καταψευσάμενος. τὰ δὲ δὴ τῶν χρόνων, ἐν οἷς φησι τὸν Μωσῆν ἐξαγαγεῖν τοὺς λεπρῶντας καὶ τυφλοὺς καὶ τὰς βάσεις πεπηρωμένους, σφόδρα δὴ τοῖς πρὸ αὐτοῦ συμπεφώνηκεν, ὡς οἶμαι, ὁ γραμματικὸς ὁ ἀκριβής. Μανεθὼς μὲν γὰρ κατὰ τὴν Τεθμώσιος βασιλείαν ἀπαλλαγῆναί φησιν ἐξ Αἰγύπτου τοὺς Ἰουδαίους πρὸ ἐτῶν τριακοσίων ἐνενηκοντατριῶν τῆς εἰς Ἄργος Δαναοῦ φυγῆς, Λυσίμαχος δὲ κατὰ Βόκχοριν τὸν βασιλέα, τουτέστι πρὸ ἐτῶν χιλίων ἑπτακοσίων, Μόλων δὲ καὶ ἄλλοι τινὲς ὡς αὐτοῖς ἔδοξεν. ὁ δέ γε πάντων πιστότατος Ἀπίων ὡρίσατο τὴν ἔξοδον ἀκριβῶς κατὰ τὴν ἑβδόμην ὀλυμπιάδα καὶ ταύτης ἔτος εἶναι πρῶτον, ἐν ᾧ, φησί, Καρχηδόνα Φοίνικες ἔκτισαν. τοῦτο δὲ πάντως προσέθηκε τὸ Καρχηδόνα τεκμήριον οἰόμενος αὐτῷ γενέσθαι τῆς ἀληθείας ἐναργέστατον, οὐ συνῆκε δὲ καθ' ἑαυτοῦ τὸν ἔλεγχον ἐπισπώμενος. εἰ γὰρ περὶ τῆς ἀπιστίας πιστεύειν δεῖ ταῖς Φοινίκων ἀναγραφαῖς, ἐν ἐκείναις Εἴρωμος ὁ βασιλεὺς γέγραπται πρεσβύτερος τῆς Καρχηδόνος κτίσεως ἔτεσι πλείοσι πρὸς τοῖς πεντήκοντα καὶ ἑκατόν, περὶ οὗ τὰς πίστεις ἀνωτέρω παρέσχον ἐκ τῶν Φοινίκων ἀναγραφῶν, ὅτι Σολομῶνι τῷ τὸν ναὸν οἰκοδομησαμένῳ τὸν ἐν Ἱεροσολύμοις φίλος ἦν Εἴρωμος καὶ πολλὰ συνεβάλετο πρὸς τὴν τοῦ ναοῦ κατασκευήν. αὐτὸς δὲ ὁ Σολομὼν ᾠκοδόμησε τὸν ναὸν μετὰ τὸ ἐξελθεῖν ἐξ Αἰγύπτου τοὺς Ἰουδαίους δώδεκα καὶ ἑξακοσίοις ἔτεσιν ὕστερον. τὸν δὲ ἀριθμὸν τῶν ἐλαθέντων τὸν αὐτὸν Λυσιμάχῳ σχεδιάσας, ἕνδεκα γὰρ αὐτοὺς εἶναί φησι μυριάδας, θαυμαστήν τινα καὶ πιθανὴν ἀποδίδωσιν αἰτίαν, ἀφ' ἧς φησι τὸ σάββατον ὠνομάσθαι. „ὁδεύσαντες γάρ, φησίν, ἐξ ἡμερῶν ὁδὸν βουβῶνας ἔσχον καὶ διὰ ταύτην τὴν αἰτίαν τῇ ἑβδόμῃ ἡμέρᾳ ἀνεταύσαντο σωθέντες εἰς τὴν χώραν τὴν νῦν Ἰουδαίαν λεγομένην καὶ ἐκάλεσαν τὴν ἡμέραν σάββατον σώζοντες τὴν Αἰγυπτίων γλῶτταν·

---

3 *πρώιην* L *moyse* Lat 5 *ὡς*] *unde* Lat *ὧν* uel *ἧς* coni. 6 *moysen* Lat 8 *ὁ ἀκριβής* om. Lat 9 *Τεθμώσιος*] *pathmosii* Lat 11 *bochore* Lat 14 *καὶ ταύτης — πρῶτον* om. Lat 15 *πάντως* om. Lat 16 *τὸ Καρχηδόνα*] *de carchedone* Lat 18 *περὶ τῆς ἀπιστίας* spuria uid. *ἀπιστίας*] LLat *ἀποικίας* ed. pr. 20 *πλείοσι — 21 ἑκατόν*] *amplius L et C* Lat *πλείοσι*] *πέντε* coni. ex I § 126, nisi *πρὸς τοῖς* corruptum habendum est 22 *καὶ* ante *ὅτι* add. Hudson *Σολομῶνι*] Dindorf *σολομῶντι* L *salomoni* Lat 23 *συνεβάλετο* L 24 *salomon* Lat 26 *ἐλασθέντων* L^1 28 *τὸ*] *τὸν* L^1

τὸ γὰρ βουβῶνος ἄλγος καλοῦσιν Αἰγύπτιοι σαββάτωσις.“ οὐκ ἂν 22
οὖν τις ἢ καταγελάσειε τῆς φλυαρίας ἢ τοὐναντίον μισήσειε τὴν
ἐν τῷ τοιαῦτα γράφειν ἀναίδειαν; δῆλον γάρ, ὅτι πάντες ἐβουβω-
νίασαν ἕνδεκα μυριάδες ἀνθρώπων. ἀλλ᾽ εἰ μὲν ἦσαν ἐκεῖνοι τυφλοὶ 23
καὶ χωλοὶ καὶ πάντα τρόπον νοσοῦντες ὁποίους αὐτοὺς εἶναί φησιν
Ἀπίων, οὐδ᾽ ἂν μιᾶς ἡμέρας προελθεῖν ὁδὸν ἠδυνήθησαν· εἰ δ᾽
οἷοι βαδίζειν διὰ πολλῆς ἐρημίας καὶ προσέτι νικᾶν τοὺς αὐτοῖς
ἀνθισταμένους μαχόμενοι πάντες, οὐκ ἂν ἀθρόοι μετὰ τὴν ἕκτην
ἡμέραν ἐβουβωνίασαν· οὔτε γὰρ φύσει πως γίνεται τὸ τοιοῦτον 24
τοῖς βαδίζουσιν ἐξ ἀνάγκης, ἀλλὰ πολλαὶ μυριάδες στρατοπέδων
ἐπὶ πολλὰς ἡμέρας τὸ σύμμετρον ἀεὶ βαδίζουσιν, οὔτε κατ᾽ αὐτό-
ματον εἰκὸς οὕτως συμβῆναι· πάντων γὰρ ἀλογώτατον. ὁ δὲ Θαυ- 25
μαστὸς Ἀπίων διὰ μὲν ἓξ ἡμερῶν αὐτοὺς ἐλθεῖν εἰς τὴν Ἰουδαίαν
προείρηκε, πάλιν δὲ τὸν Μωσῆν εἰς τὸ μεταξὺ τῆς Αἰγύπτου καὶ
τῆς Ἀραβίας ὄρος, ὃ καλεῖται Σίναιον, ἀναβάντα φησὶν ἡμέρας
τεσσαράκοντα κρυβῆναι κἀκεῖθεν καταβάντα δοῦναι τοῖς Ἰουδαίοις
τοὺς νόμους. καίτοι πῶς οἷόν τε τοὺς αὐτοὺς καὶ τεσσαράκοντα
μένειν ἡμέρας ἐν ἐρήμῳ καὶ ἀνύδρῳ τόπῳ καὶ τὴν μεταξὺ πᾶσαν
ἐν ἡμέραις ἓξ διελθεῖν; ἡ δὲ περὶ τὴν ὀνομασίαν τοῦ σαββάτου 26
γραμματικὴ μετάθεσις ἀναίδειαν ἔχει πολλὴν ἢ δεινὴν ἀμαθίαν·
τὸ γὰρ σαββῶ καὶ σάββατον πλεῖστον ἀλλήλων διαφέρει· τὸ μὲν 27
γὰρ σάββατον κατὰ τὴν Ἰουδαίων διάλεκτον ἀνάπαυσίς ἐστιν ἀπὸ
παντὸς ἔργου, τὸ δὲ σαββῶ, καθάπερ ἐκεῖνός φησι, δηλοῖ παρ᾽
Αἰγυπτίοις τὸ βουβῶνος ἄλγος.

3. Τοιαῦτα μέν τινα περὶ Μωσέως καὶ τῆς ἐξ Αἰγύπτου 28
γενομένης τοῖς Ἰουδαίοις ἀπαλλαγῆς ὁ Αἰγύπτιος Ἀπίων ἐκαινο-
ποίησεν παρὰ τοὺς ἄλλους ἐπινοήσας. καὶ τί γε δεῖ θαυμάζειν,
εἰ περὶ τῶν ἡμετέρων ψεύδεται προγόνων λέγων αὐτοὺς εἶναι τὸ
γένος Αἰγυπτίους; αὐτὸς γὰρ περὶ αὐτοῦ τοὐναντίον ἐψεύδετο καὶ 29
γεγενημένος ἐν Ὀάσει τῆς Αἰγύπτου πάντων Αἰγυπτίων πρῶτος
ὤν, ὡς ἂν εἴποι τις, τὴν μὲν ἀληθῆ πατρίδα καὶ τὸ γένος ἐξωμό-
σατο, Ἀλεξανδρεὺς δὲ εἶναι καταψευδόμενος ὁμολογεῖ τὴν μοχθη-

---

1 *sabbato* Lat σαββάτωσιν ed. pr. οὐκ — 2 καταγελάσειε] *quis enim non aut derideat* Lat 4 ἐκεῖνοι] *ut illi* Lat 9 τὸ] Bekker, om. L 11 ἐπὶ πολλὰς ἡμέρας om. ed. pr. κατὰ ταὐτόματον coni. 14 *moysen* Lat 15 Σίναιον] ~~sincius~~ cod. Corsin. *mens* cod. Can. Lat 16 κρυβῆναι L 20 γραμματικὴ — πολλὴν om. Lat ἀναίδειαν] ἢ ἀναίδειαν coni. 25 *moyse* Lat 27 γε] καὶ coni. 30 γεγενημένος] ed. pr. γεγεννημένος L *natus* Lat Ὀάσει] *thasi* Lat

ρίαν τοῦ γένους. εἰκότως οὖν οὓς μισεῖ καὶ βούλεται λοιδορεῖν τούτους Αἰγυπτίους καλεῖ· εἰ μὴ γὰρ φαυλοτάτους εἶναι ἐνόμιζεν Αἰγυπτίους, οὐκ ἂν τοῦ γένους αὐτὸς ἔφυγεν· ὡς οἵ γε μεγαλοφρονοῦντες ἐπὶ ταῖς ἑαυτῶν πατρίσι σεμνύνονται μὲν ἀπὸ τούτων αὐτοὶ χρηματίζοντες, τοὺς ἀδίκως δ' αὐτῶν ἀντιποιουμένους ἐλέγχουσι. πρὸς ἡμᾶς δὲ δυοῖν θάτερον Αἰγύπτιοι πεπόνθασιν· ἢ γὰρ ὡς ἐπισεμνυνόμενοι προσποιοῦνται τὴν συγγένειαν ἢ κοινωνοὺς ἡμᾶς ἐπισπῶνται τῆς αὐτῶν κακοδοξίας. ὁ δὲ γενναῖος Ἀπίων δοκεῖ μὲν τὴν βλασφημίαν τὴν καθ' ἡμῶν ὥσπερ τινὰ μισθὸν ἐθελῆσαι παρασχεῖν Ἀλεξανδρεῦσι τῆς δοθείσης αὐτῷ πολιτείας, καὶ τὴν ἀπέχθειαν αὐτῶν ἐπιστάμενος τὴν πρὸς τοὺς συνοικοῦντας αὐτοῖς ἐπὶ τῆς Ἀλεξανδρείας Ἰουδαίους προτέθειται μὲν ἐκείνοις λοιδορεῖσθαι, συμπεριλαμβάνειν δὲ καὶ τοὺς ἄλλους ἅπαντας, ἐν ἀμφοτέροις ἀναισχύντως ψευδόμενος.

4. Τίνα τοίνυν ἐστὶ τὰ δεινὰ καὶ σχέτλια τῶν ἐν Ἀλεξανδρείᾳ κατοικούντων Ἰουδαίων, ἃ κατηγόρηκεν αὐτῶν, ἴδωμεν. „ἐλθόντες, φησίν, ἀπὸ Συρίας ᾠκησαν πρὸς ἀλίμενον θάλασσαν γειτνιάσαντες ταῖς τῶν κυμάτων ἐκβολαῖς." οὐκοῦν τόπος εἰ λοιδορίαν ἔχει, τὴν οὐ πατρίδα μὲν ,λεγομένην δὲ αὐτοῦ λοιδορεῖ τὴν Ἀλεξάνδρειαν· ἐκείνης γὰρ καὶ τὸ παράλιόν ἐστι μέρος, ὡς πάντες ὁμολογοῦσιν, εἰς κατοίκησιν τὸ κάλλιστον. Ἰουδαῖοι δ' εἰ μὲν βιασάμενοι κατέσχον, ὡς μηδ' ὕστερον ἐκπεσεῖν, ἀνδρείας τεκμήριόν ἐστιν αὐτοῖς· εἰς κατοίκησιν δὲ αὐτοῖς ἔδωκεν τόπον Ἀλέξανδρος καὶ ἴσης παρὰ τοῖς Μακεδόσι τιμῆς ἐπέτυχον. οὐκ οἶδα δέ, τί ποτ' ἂν ἔλεγεν Ἀπίων, εἰ πρὸς τῇ νεκροπόλει κατῴκουν καὶ μὴ πρὸς τοῖς βασιλικοῖς ἦσαν ἱδρυμένοι, καὶ μέχρι νῦν αὐτῶν ἡ φυλὴ τὴν προσηγορίαν εἶχεν Μακεδόνες. εἰ μὲν οὖν ἀναγνοὺς τὰς ἐπιστολὰς Ἀλεξάνδρου τοῦ βασιλέως καὶ τὰς Πτολεμαίου τοῦ Λάγου καὶ τῶν μετ' ἐκεῖνον

---

3 *τοῦ γένους*] *genus* Lat *τὴν προσηγορίαν* uel simile post *ἔφυγεν* addendum 5 *ἀδίκως*] ed. pr. *ἀδίκους* L et ut uid. Lat 10 *καὶ τὴν* — 13 *λοιδορεῖσθαι*] *et nequitiam eorum sciens iudeis cohabitantibus in alexandria proposuit derogare* Lat 11 *τὴν*] ed. pr. *τὸν* L *τὴν*] ed. pr. *τοὺς* L 12 *προτέθειται*] coni. *προυτέθειται* L *προυτέθειτο* ed. pr. 13 *συμπεριλαμβάνει* ed. pr. 17 *ἀπὸ Συρίας*] *in syriam* Lat 18 *οὐκοῦν* — 19 *λοιδορεῖ*] mutila in Lat 23 *εἰς* — *Ἀλέξανδρος*] *sed magis alexander ad habitandum dedit eis hunc locum* Lat *τόπον*] *τὸν τόπον* coni. ex Lat 25 *εἰ*] ed. pr., om. L *εἰ πρὸς* — 26 *ἱδρυμένοι*] *cum ait iuxta necropolim id est mortuorum ciuitatem habitabant, cum utique essent circa regalia constituti* Lat; sed uide num tota sententia *οὐκ οἶδα* — *ἱδρυμένοι* u. 21 post *κάλλιστον* ponenda sit *βασιλικοῖς*] *βασιλείοις* ed. pr. *regalia* Lat 26 *καὶ μέχρι* — 27 *Μακεδόνες*] u. 24 post *ἐπέτυχον* melius extabunt 27 *Μακέδονες*] *macedonum* Lat 28 *λαγοῦ* L, corr. ed. pr.

τῆς Αἰγύπτου βασιλέων ἐντυχὼν τοῖς γράμμασι καὶ τὴν στήλην τὴν ἑστῶσαν ἐν Ἀλεξανδρείᾳ καὶ τὰ δικαιώματα περιέχουσαν, ἃ Καῖσαρ ὁ μέγας τοῖς Ἰουδαίοις ἔδωκεν, εἰ μὲν οὖν ταῦτα, φημί, γιγνώσκων τἀναντία γράφειν ἐτόλμα, πονηρὸς ἦν, εἰ δὲ μηδὲν ἠπίστατο τούτων, ἀπαίδευτος. τὸ δὲ δὴ θαυμάζειν, πῶς Ἰουδαῖοι 38
ὄντες Ἀλεξανδρεῖς ἐκλήθησαν, τῆς ὁμοίας ἀπαιδευσίας· πάντες γὰρ οἱ εἰς ἀποικίαν τινὰ κατακληθέντες, κἂν πλεῖστον ἀλλήλων τοῖς γένεσι διαφέρωσιν, ἀπὸ τῶν οἰκιστῶν τὴν προσηγορίαν λαμβάνουσιν. καὶ τί δεῖ περὶ τῶν ἄλλων λέγειν; αὐτῶν γὰρ ἡμῶν οἱ τὴν 39
Ἀντιόχειαν κατοικοῦντες Ἀντιοχεῖς ὀνομάζονται· τὴν γὰρ πολιτείαν αὐτοῖς ἔδωκεν ὁ κτίστης Σέλευκος. ὁμοίως οἱ ἐν Ἐφέσῳ καὶ κατὰ τὴν ἄλλην Ἰωνίαν τοῖς αὐθιγενέσι πολίταις ὁμωνυμοῦσιν τοῦτο παρασχόντων αὐτοῖς τῶν διαδόχων. ἡ δὲ Ῥωμαίων φιλανθρωπία 40
πᾶσιν οὐ μικροῦ δεῖν τῆς αὐτῶν προσηγορίας μεταδέδωκεν οὐ μόνον ἀνδράσιν ἀλλὰ καὶ μεγάλοις ἔθνεσιν ὅλοις; Ἴβηρες γοῦν οἱ πάλαι καὶ Τυρρηνοὶ καὶ Σαβῖνοι Ῥωμαῖοι καλοῦνται. εἰ δὲ τοῦτον ἀφαι- 41
ρεῖται τὸν τρόπον τῆς πολιτείας Ἀπίων, παυσάσθω λέγων αὐτὸν Ἀλεξανδρέα· γεννηθεὶς γάρ, ὡς προεῖπον, ἐν τῷ βαθυτάτῳ τῆς Αἰγύπτου πῶς ἂν Ἀλεξανδρεὺς εἴη τῆς κατὰ δόσιν πολιτείας, ὡς αὐτὸς ἐφ' ἡμῶν ἠξίωκεν, ἀναιρουμένης; καίτοι μόνοις Αἰγυπτίοις οἱ κύριοι νῦν Ῥωμαῖοι τῆς οἰκουμένης μεταλαμβάνειν ἡσυχοσοῦν πολιτείας ἀπειρήκασιν. ὁ δ' οὕτως ἐστὶ γενναῖος, ὡς μετέχειν 42
ἀξιῶν αὐτὸς ὢν τυχεῖν ἐκωλύετο, συκοφαντεῖν ἐπεχείρησε τοὺς δικαίως λαβόντας· οὐ γὰρ ἀπορία γε τῶν οἰκησόντων τὴν μετὰ σπουδῆς ὑπ' αὐτοῦ πόλιν κτιζομένην Ἀλέξανδρος τῶν ἡμετέρων τινὰς ἐκεῖ συνήθροισεν, ἀλλὰ πάντας δοκιμάζων ἐπιμελῶς ἀρετῆς καὶ πίστεως τοῦτο τοῖς ἡμετέροις τὸ γέρας ἔδωκεν. ἐτίμα γὰρ ἡμῶν 43
τὸ ἔθνος, ὡς καί φησιν Ἑκαταῖος περὶ ἡμῶν, ὅτι διὰ τὴν ἐπιείκειαν καὶ πίστιν, ἣν αὐτῷ παρέσχον Ἰουδαῖοι, τὴν Σαμαρεῖτιν χώραν προσέθηκεν ἔχειν αὐτοῖς ἀφορολόγητον. ὅμοια δὲ Ἀλεξάνδρῳ 44
καὶ Πτολεμαῖος ὁ Λάγου περὶ τῶν ἐν Ἀλεξανδρείᾳ κατοικούντων ἐφρόνησεν· καὶ γὰρ τὰ κατὰ τὴν Αἴγυπτον αὐτοῖς ἐνεχείρισε φρούρια πιστῶς ἅμα καὶ γενναίως φυλάξειν ὑπολαμβάνων, καὶ Κυρήνης

---

1 τῆς Αἰγύπτου om. Lat 4 ἐτόλμησεν ed. pr. 11 καὶ] ed. pr., om. LLat κατὰ τὴν ἄλλην Ἰωνίαν] *in lycaonia* Lat 14 οὐ μικροῦ] *non paruulum* Lat μικροῦ ed. pr. δεῖν] *donum* Lat μεταδέδωκεν] Hudson μεταδεδώκασιν L *concessit* Lat 16 Ῥωμαῖοι] *et romani* Lat 26 ἀρετῆς καὶ πίστεως] *et uirtute ac fide dignos inueniens* Lat 30 Ἀλεξάνδρῳ] Bekker ἀλεξάνδρου L *post alexandrum* Lat 31 λαγοῦ L, corr. ed. pr., *lagus* Lat 32 ἐνεχείρισε] ed. pr. ἐνεχείρησε L

ἐγκρατῶς ἄρχειν βουλόμενος καὶ τῶν ἄλλων τῶν ἐν τῇ Λιβύῃ πό-
45 λεων εἰς αὐτὰς μέρος Ἰουδαίων ἔπεμψε κατοικῆσον. ὁ δὲ μετ᾽
αὐτὸν Πτολεμαῖος ὁ Φιλάδελφος ἐπικληθεὶς οὐ μόνον εἴ τινες
ἦσαν αἰχμάλωτοι παρ᾽ αὐτῷ τῶν ἡμετέρων πάντας ἀπέδωκεν, ἀλλὰ
καὶ χρήματα πολλάκις ἐδωρήσατο καὶ τὸ μέγιστον ἐπιθυμητὴς 5
ἐγένετο τοῦ γνῶναι τοὺς ἡμετέρους νόμους καὶ ταῖς τῶν ἱερῶν γρα-
64 φῶν βίβλοις ἐντυχεῖν. ἔπεμψε γοῦν ἀξιῶν ἄνδρας ἀποσταλῆναι
τοὺς ἑρμηνεύσοντας αὐτῷ τὸν νόμον καὶ τοῦ γραφῆναι ταῦτα καλῶς
τὴν ἐπιμέλειαν ἐπέταξεν οὐ τοῖς τυχοῦσιν, ἀλλὰ Δημήτριον τὸν
Φαληρέα καὶ Ἀνδρέαν καὶ Ἀριστέα, τὸν μὲν παιδείᾳ τῶν καθ᾽ 10
47 ἑαυτὸν διαφέροντα {Δημήτριον}, τοὺς δὲ τὴν τοῦ σώματος αὐτοῦ
φυλακὴν ἐγχειρισμένους, ἐπὶ τῆς ἐπιμελείας ταύτης ἔταξεν, οὐκ
ἂν δήπου τοὺς νόμους καὶ τὴν πάτριον ἡμῶν φιλοσοφίαν ἐπιθυ-
μήσας ἐκμαθεῖν, εἰ τῶν χρωμένων αὐτοῖς ἀνδρῶν κατεφρόνει καὶ
μὴ λίαν ἐθαύμαζεν. 15

48 5. Ἀπίωνα δὲ σχεδὸν ἐφεξῆς πάντες ἔλαθον οἱ τῶν προγόνων
αὐτοῦ Μακεδόνων βασιλεῖς οἰκειότατα πρὸς ἡμᾶς διατεθέντες· καὶ
γὰρ τρίτος Πτολεμαῖος ὁ λεγόμενος Εὐεργέτης κατασχὼν ὅλην Συ-
ρίαν κατὰ κράτος οὐ τοῖς ἐν Αἰγύπτῳ θεοῖς χαριστήρια τῆς νίκης
ἔθυσεν, ἀλλὰ παραγενόμενος εἰς Ἱεροσόλυμα πολλὰς ὡς ἡμῖν νόμι- 20
μόν ἐστιν ἐπετέλεσε θυσίας τῷ θεῷ καὶ ἀνέθηκεν ἀναθήματα τῆς
49 νίκης ἀξίως. ὁ δὲ Φιλομήτωρ Πτολεμαῖος καὶ ἡ γυνὴ αὐτοῦ Κλεο-
πάτρα τὴν βασιλείαν ὅλην τὴν ἑαυτῶν Ἰουδαίοις ἐπίστευσαν, καὶ
στρατηγοὶ πάσης τῆς δυνάμεως ἦσαν Ὀνίας καὶ Δοσίθεος Ἰουδαῖοι,
ὧν Ἀπίων σκώπτει τὰ ὀνόματα, δέον τὰ ἔργα θαυμάζειν καὶ μὴ 25
λοιδορεῖν, ἀλλὰ χάριν αὐτοῖς ἔχειν, ὅτι διέσωσαν τὴν Ἀλεξάνδρειαν,
50 ἧς ὡς πολίτης ἀντιποιεῖται. πολεμούντων γὰρ αὐτῶν τῇ βασιλίσσῃ
Κλεοπάτρᾳ καὶ κινδυνευόντων ἀπολέσθαι κακῶς οὗτοι συμβάσεις
ἐποίησαν καὶ τῶν ἐμφυλίων κακῶν ἀπήλλαξαν. ἀλλὰ „μετὰ ταῦτα,
φησίν, Ὀνίας ἐπὶ τὴν πόλιν ἦγαγε στρατὸν ὀλίγον ὄντος ἐκεῖ Θέρμου 30
51 τοῦ παρὰ Ῥωμαίων πρεσβευτοῦ καὶ παρόντος.“ ὀρθῶς δὲ ποιῶν

---

2 εἰς αὐτὰς] ed. pr. εἰσ αὐτὰ L *ad ea loca* Lat κατοικήσων (accentus i. ras.) L 3 αὐτὸν] ed. pr. αὐτὰ L εἴ τινοσ L¹ 4 αὐτῷ] L² αὐτῶν L¹ *(apud) eos* Lat 6 τοὺσ, σ i. ras. L 7 ἔπεμψε γοῦν] desiderabit aliquis, ut addatur quo miserit, uelut Hierosolyma aut ad sacerdotem Iudaeorum 10 *aristeum* Lat 11 διαφέροντα] ed. pr. διαφερόντων L 16 Ἀπίωνα] *quae* Lat 22 ἀξίως] *dignissima* Lat ἀξια Hudson (fort. male lecta editione pr.) 24 δωσίθεοσ L, corr. ed. pr. 25 καὶ μὴ λοιδορεῖν om. Lat 26 διεσώσαντο ed. pr. 30 ὄντος — 31 παρόντος] *cum esset illic thermus (hermus* codd.) *praesens romanorum legatus* Lat

φαίην ἂν καὶ μάλα δικαίως· ὁ γὰρ Φύσκων ἐπικληθεὶς Πτολεμαῖος ἀποθανόντος αὐτῷ τοῦ ἀδελφοῦ Πτολεμαίου τοῦ Φιλομήτορος ἀπὸ Κυρήνης ἐξῆλθε Κλεοπάτραν ἐκβαλεῖν βουλόμενος τῆς βασιλείας et filios regis, ut ipse regnum iniuste sibimet applicaret; propter 52
haec ergo Onias aduersus eum bellum pro Cleopatra suscepit et fidem, quam habuit circa reges, nequaquam in necessitate deseruit. testis autem deus iustitiae eius manifestus apparuit; nam Fyscon 53
Ptolomaeus cum aduersum exercitum quidem Oniae pugnare praesumeret, omnes uero Iudaeos in ciuitate positos cum filiis et uxoribus capiens nudos atque uinctos elephantis subiecisset, ut ab eis conculcati deficerent, et ad hoc etiam bestias ipsas debriasset, in contrarium quae praeparauerat euenerunt. elephanti enim relin- 54
quentes sibi appositos Iudaeos impetu facto super amicos eius multos ex ipsis interemerunt. et post haec Ptolomaeus quidem aspectum terribilem contemplatus est prohibentem se, ut illis noceret hominibus, concubina uero sua carissima, quam alii quidem Itha- 55
cam, alii uero Hirenen denominant, supplicante ne tantam impietatem perageret, ei concessit et ex his quae iam egerat uel acturus erat paenitentiam egit. unde recte hanc diem Iudaei Alexandria constituti eo quod aperte a deo salutem promeruerunt celebrare noscuntur. Apion autem omnium calumniator etiam propter bellum 56
aduersus Fysconem gestum Iudaeos accusare praesumpsit, cum eos laudare debuerit. is autem etiam ultimae Cleopatrae Alexandrinorum reginae meminit ueluti nobis improperans, quoniam circa nos fuit ingrata, et non potius illam redarguere studuit; cui nihil 57
omnino iniustitiae et malorum operum defuit uel circa generis necessarios uel circa maritos suos, qui etiam dilexerunt eam, uel in communi contra Romanos omnes et benefactores suos imperatores, quae etiam sororem Arsinoën occidit in templo nihil sibi nocentem, pere- 58
mit autem et fratrem insidiis paternosque deos et sepulcra progenitorum depopulata est, percipiensque regnum a primo Caesare

---

1 ὁ γὰρ — 3 βασιλείας] *ptolomeus enim qui cognominatus est fiscon moriente suo fratre ptolomeo philometore egressus est de cyrene uolens reginam cleopatram expellere* Lat Φύσκων] ed. pr. *fiscon* Lat φούσκων L 3 post βασιλείας | lacuna in textu non indicata, i. marg. ascripsit m. 1 haec: * * *φύλλα ὡσεὶ | πέντε* et alia m. XV aut XVI fere saeculi: * *ic circa | quinque | folia desunt* L; expletur lacuna exemplaribus latinis 7 deus] *deum* CL *fiscon* codd. 11 debriasset] *inebriasset* ed. Bas. 14 aspectum terribilem] h. e. *δεινὴν ὄψιν* 18 quae iam] *quedam* CL¹ 19 *Alexandriae* ed. Bas. 28 et] om. L 29 Arsinoën] ed. Bas. *arsenom* codd.

eius filio et successori rebellare praesumpsit, Antoniumque corrumpens amatoriis rebus et patriae inimicum fecit et infidelem circa suos amicos instituit, alios quidem genere regali spolians, alios au-
59 tem demens et ad mala gerenda compellens. sed quid oportet amplius dici, cum illum ipsum in nauali certamine relinquens, id est maritum et parentem communium filiorum, tradere eum exercitum
60 et principatum et se sequi coëgit? nouissime uero Alexandria a Caesare capta ad hoc usque perducta est, ut salutem hinc sperare se iudicaret, si posset ipsa manu sua Iudaeos perimere, eo quod circa omnes crudelis et infidelis extaret. putasne gloriandum nobis non esse, si quemadmodum dicit Apion famis tempore Iudaeis tri-
61 ticum non est mensa? sed illa quidem poenam subiit competentem, nos autem maximo Caesare utimur teste solatii atque fidei, quam circa eum contra Aegyptios gessimus, necnon et senatu eiusque dogmatibus et epistulis Caesaris Augusti, quibus nostra merita
62 comprobantur. has litteras Apionem oportebat inspicere et secundum genera examinare testimonia sub Alexandro facta et omnibus Ptolomaeis et quae a senatu constituta sunt necnon et a maxi-
63 mis Romanis imperatoribus. si uero Germanicus frumenta cunctis in Alexandria commorantibus metiri non potuit, hoc indicium est sterilitatis ac necessitatis frumentorum, non accusatio Iudaeorum. quid enim sapiant omnes imperatores de Iudaeis in Alexandria
64 commorantibus, palam est; nam amministratio tritici nihilo minus ab eis quam ab aliis Alexandrinis translata est, maximam uero eis fidem olim a regibus datam conseruauerunt, id est fluminis custodiam totiusque custodiae nequaquam his rebus indignos esse iudicantes.

65 6. Sed super haec, quomodo ergo, inquit, si sunt ciues, eosdem deos quos Alexandrini non colunt? cui respondeo, quomodo etiam, cum uos sitis Aegyptii, inter alterutros proelio magno et sine
66 foedere de religione contenditis? an certe propterea non uos omnes dicimus Aegyptios et neque communiter homines, quoniam bestias aduersantes naturae nostrae colitis multa diligentia nutrientes, cum
67 genus utique nostrorum unum itaque idem esse uideatur? si autem in uobis Aegyptiis tantae differentiae opinionum sunt, quid miraris super his, qui aliunde in Alexandriam aduenerunt, si in legibus a

---

4 demens] *deiciens* cod. Par. 5049 9 *iudicare* CL et Parisini 18 et quae] ed. Bas. *atque* codd. 34 nostrorum — itaque] *nostrum uestrumque* Corsin. et Paris. 1615 itaque] *itque* L *atque* ed. Bas.

principio constitutis circa talia permanserunt? is autem etiam sedi- 68
tionis causas nobis apponit, qui si cum ueritate ob hoc accusat Iudaeos in Alexandria constitutos, cur omnes nos culpat ubique positos eo quod noscamur habere concordiam? porro etiam seditionis aucto- 69
res quilibet inueniet Apioni similes Alexandrinorum fuisse ciues. donec enim Graeci fuerunt et Macedones hanc ciuilitatem habentes, nullam seditionem aduersus nos gesserunt, sed antiquis cessere sollemnitatibus. cum uero multitudo Aegyptiorum creuisset inter eos propter confusiones temporum, etiam hoc opus semper est additum. nostrum uero genus permansit purum. ipsi igitur molestiae huius 70
fuere principium nequaquam populo Macedonicam habente constantiam neque prudentiam Graecam, sed cunctis scilicet utentibus malis moribus Aegyptiorum et antiquas inimicitias aduersum nos exercentibus. e diuerso namque factum est quod nobis improperare prae- 71
sumunt; nam cum plurimi eorum non oportune ius eius ciuilitatis optineant, peregrinos uocant eos, qui hoc priuilegium ad omnes imperasse noscuntur. nam Aegyptiis neque regum quisquam uide- 72
tur ius ciuilitatis fuisse largitus neque nunc quilibet imperatorum, nos autem Alexander quidem introduxit, reges autem auxerunt, Romani uero semper custodire dignati sunt. itaque derogare nobis 73
Apion conatus est, quia imperatorum non statuamus imagines tamquam illis hoc ignorantibus aut defensione Apionis indigentibus, cum potius debuerit ammirari magnanimitatem mediocritatemque Romanorum, quoniam subiectos non cogunt patria iura transcendere, sed suscipiunt honores sicut dare offerentes pium atque legitimum est; non enim honoribus gratiam habent, qui ex necessitate et uiolentia conferuntur. Graecis itaque et aliis quibusdam bonum 74
esse creditur imagines instituere, denique et patrum et uxorum filiorumque figuras depingentes exultant, quidam uero etiam nihil sibi competentium sumunt imagines, alii uero et seruos diligentes hoc faciunt. quid ergo mirum est, si etiam principibus ac dominis hunc honorem praebere uideantur? porro noster legislator, non quasi 75
prophetans Romanorum potentiam non honorandam, sed tamquam causam neque deo neque hominibus utilem despiciens, et quoniam

---

1 constitutis] ed. Bas. *constituti* codd. 3 ubique] *uque* CL et Paris. 5049 5 *apionis* aut *apiones* codd. 16 uocant] ed. Bas. *uocantes* codd. 17 *impetrasse* ed. Bas. 28 filiorum] *filiorum suorum* C^2 Cors. et Parisini 30 alii] ed. Bas. *aliis* codd. 31 ac] ed. Bas. *a* codd. 32 porro — 64. 2 fabricari] corrrupta 34 causam] h. e. *πρᾶγμα*

totius animati, multo magis dei inanimatu probatur inferius inter-
76 dixit imagines fabricari. aliis autem honoribus post deum colendos
non prohibuit uiros bonos, quibus nos et imperatores et populum
77 Romanorum dignitatibus ampliamus. facimus autem pro eis con-
tinua sacrificia et non solum cotidianis diebus ex impensa communi
omnium Iudaeorum talia celebramus, uerum cum nullas alias hostias
ex communi neque pro filiis peragamus, solis imperatoribus hunc ho-
norem praecipuum pariter exhibemus, quem hominum nulli persol-
78 uimus. haec itaque communiter satisfactio posita sit aduersus Apio-
nem pro his, quae de Alexandria dicta sunt.

79 7. Ammiror autem etiam eos, qui ei huiusmodi fomitem praebue-
runt id est Posidonium et Apollonium Molonis, quoniam accusant
quidem nos, quare nos eosdem deos cum aliis non colimus, men-
tientes autem pariter et de nostro templo blasphemias componentes
incongruas non se putant impie agere, dum sit ualde turpissimum
liberis qualibet ratione mentiri multo magis de templo apud cunctos
80 homines nominato tanta sanctitate pollente. in hoc enim sacrario
Apion praesumpsit edicere asini caput collocasse Iudaeos et eum
colere ac dignum facere tanta religione, et hoc affirmat fuisse depa-
latum, dum Antiochus Epiphanes expoliasset templum et illud caput
81 inuentum ex auro compositum multis pecuniis dignum. ad haec
igitur prius equidem dico, quoniam Aegyptius, uel si aliquid tale
apud nos fuisset, nequaquam debuerat increpare, cum non sit de-
terior asinus furonibus et hircis et aliis, quae sunt apud eos dii.
82 deinde quomodo non intellexit operibus increpatus de incredibili
suo mendacio? legibus namque semper utimur hisdem, in quibus
sine fine consistimus, et cum uarii casus nostram ciuitatem sicut
etiam aliorum uexauerint et Pius ac Pompeius Magnus et Licinius
Crassus et ad nouissimum Titus Caesar bello uincentes optinuerint
templum, nihil huiusmodi illic inuenerunt, sed purissimam pietatem,
83 de qua nihil nobis est apud alios effabile. quia uero Antiochus
neque iustam fecit templi depraedationem, sed egestate pecuniarum
ad hoc accessit, cum non esset hostis, et super nos auxiliatores suos
et amicos adgressus est nec aliquid dignum derisione illic inuenit,
84 multi et digni conscriptores super hoc quoque testantur, Polybius

---

1 inanimatu] *inanimati* ed. Bas. *inanimatas ut* coni. 12 Apollonium Molonem (non Molonis filium) uocasse uid. Iosephus, cf. § 16, 145, 236, 255, 258, 295 20 *spoliasset* coni. 24 *ircis* C quae] *qui* Cors. et Paris. 5049 25 operibus increpatus] h. e. *τοῖς ἔργοις ἐξελεγχθέντος* 28 Pius] coni. *dius* codd., dicit Antiochum Pium (*εὐσεβῆ*) cognomine; uid. Antiq. Iud. XIII 244.

Megalopolita Strabon Cappadox Nicolaus Damascenus Timagenis et Castor temporum conscriptor et Apollodorus; omnes dicunt pecuniis indigentem Antiochum transgressum foedera Iudaeorum et spoliasse templum auro argentoque plenum. haec igitur Apion de- 85
buit respicere, nisi cor asini ipse potius habuisset et impudentiam canis, qui apud ipsos assolet coli; neque enim extrinsecus aliqua ratiocinatione mentitus est. nos itaque asinis neque honorem neque 86
potestatem aliquam damus, sicut Aegyptii crocodillis et aspidibus, quando eos qui ab istis mordentur et a crocodillis rapiuntur felices et deo digni arbitrantur. sed sunt apud nos asini quod apud alios 87
sapientes uiros onera sibimet imposita sustinentes, et licet ad areas accedentes comedant aut uiam propositam non adimpleant, multas ualde plagas accipiunt quippe operibus et ad agriculturam rebus necessariis ministrantes. sed aut omnium gurdissimus fuit 88
Apion ad componendum uerba fallacia aut certe ex rebus initia sumens haec implere non ualuit, quando nulla potest contra nos blasphemia prouenire.

8. Alteram uero fabulam derogatione nostra plenam de Grae- 89
cis apposuit, de quo hoc dicere sat erit, quoniam qui de pietate loqui praesumunt oportet eos non ignorare minus esse inmundum per templa transire quam sacerdotibus scelesta uerba componere. isti uero magis studuerunt defendere sacrilegum regem quam iusta 90
et ueracia de nostris et de templo conscribere; uolentes enim Antiocho praestare et infidelitatem ac sacrilegium eius tegere, quo circa gentem nostram est usus propter egestatem pecuniarum, detrahentes nobis etiam quae in futuro essent dicenda mentiti sunt. propheta 91
uero aliorum factus est Apion et dixit Antiochum in templo inuenisse lectum et hominem in eo iacentem et propositam ei mensam maritimis terrenisque et uolatilium dapibus plenam, et obstipuisset his homo. illum uero mox adorasse regis ingressum tamquam 92
maximum ei solacium praebiturum ac procidentem ad eius genua extensa dextra poposcisse libertatem; et iubente rege, ut confideret et diceret, quis esset uel cur ibidem habitaret uel quae esset causa ciborum eius, tunc hominem cum gemitu et lacrimis lamentabiliter suam narrasse necessitatem ait. inquit esse quidem se Graecum, 93
et dum peragraret prouinciam propter uitae causam direptum se

---

2 omnes] *qui omnes* Hudson 3 et spoliasse] *expoliasse* coni. 10 *dignos* ed. Bas. 21 componere] *confingere* L 26 essent] *sunt* coni. 29 Antiochus obstipuisse intellegendus est 36 direptum] ed. Bas. *directum* codd.

subito ab alienigenis hominibus atque deductum ad templum et inclusum illic, et a nullo conspici sed cuncta dapium praeparatione
94 saginari. et primum quidem haec sibi inopinabilia beneficia prodidisse et detulisse laetitiam deinde suspicionem postea stuporem, ac postremum consulentem a ministris ad se accedentibus audisse legem ineffabilem Iudaeorum, pro qua nutriebatur, et hoc illos fa-
95 cere singulis annis quodam tempore constituto. et compraehendere quidem Graecum peregrinum eumque annali tempore saginare et deductum ad quandam siluam occidere quidem eum hominem eiusque corpus sacrificare secundum suas sollemnitates et gustare ex eius uisceribus et iusiurandum facere in immolatione Graeci, ut inimicitias contra Graecos haberent, et tunc in quandam foueam reliqua
96 hominis pereuntis abicere. deinde refert eum dixisse paucos iam dies debita sibimet superesse atque rogasse, ut erubescens Graecorum deos et superantes in suo sanguine insidias Iudaeorum de
97 malis eum circumastantibus liberaret. huiusmodi ergo fabula non tantum omni tragoedia plenissima est, sed etiam impudentia crudeli redundat, non tamen a sacrilegio priuat Antiochum, sicut arbitrati
98 sunt qui haec ad illius gratiam conscripserunt; non enim praesumpsit aliquid tale, ut ad templum accederet, sed sicut aiunt inuenit non sperans. fuit ergo uoluntate iniquus impius et nihilominus sine deo, quanta iussit mendacii superfluitas, quam ex ipsa re
99 cognoscere ualde facillimum est. non enim circa solos Graecos discordia legum esse dinoscitur, sed maxime aduersus Aegyptios et plurimos alios. * quem enim horum non contigit aliquando circa nos peregrinari, ut aduersus solos renouata coniuratione per
100 effusionem sanguinis egeremus? uel quomodo possibile est, ut ad has hostias omnes Iudaei colligerentur et tantis milibus ad gustandum uiscera illa sufficerent, sicut ait Apion? uel cur inuentum ho-
101 minem quicumque fuit, non enim suo nomine conscripsit, * aut quomodo eum in suam patriam rex non cum pompa deduxit, dum posset hoc faciens ipse quidem putari pius et Graecorum amator eximius, assumere uero contra Iudaeorum odium solacia magna
102 cunctorum? sed haec relinquo; insensatos enim non uerbis sed operibus decet arguere. sciunt igitur omnes qui uiderunt construc-
103 tionem templi nostri, qualis fuerit, et intransgressibilem eius purificationis integritatem. quattuor etenim habuit in circuitu porticus,

25 ante *quem* lacunam statuo 26 *Graecos* post *solos* add. Hudson
30 ante *aut* lacunam statuo

et harum singulae propriam secundum legem habuere custodiam; in exteriorem itaque ingredi licebat omnibus etiam alienigenis; mulieres tantummodo menstruatae transire prohibebantur. in se- 104
cunda uero porticu cuncti Iudaei ingrediebantur eorumque coniuges, cum essent ab omni pollutione mundae, in tertia masculi Iudaeorum mundi existentes atque purificati, in quartam autem sacerdotes stolis induti sacerdotalibus, in adytum uero soli principes sacerdotum propria stola circumamicti. tanta uero est circa omnia prouidentia pietatis, ut secundum quasdam horas sacerdotes ingredi con- 105
stitutum sit; mane etenim aperto templo oportebat facientes traditas hostias introire et meridie rursus, dum clauderetur templum. denique nec uas aliquod portari licet in templum, sed erant in eo solummodo posita altare mensa turibulum candelabrum, quae omnia et in lege conscripta sunt. etenim nihil amplius neque mysteriorum 106 107
aliquorum ineffabilium agitur neque intus ulla epulatio ministratur; haec enim quae praedicta sunt habent totius populi testimonium manifestationemque gestorum. licet enim sint tribus quattuor sacer- 108
dotum et harum tribuum singulae habeant hominum plus quam quinque milia, fit tamen obseruatio particulariter per dies certos, et his transactis alii succedentes ad sacrificia ueniunt et congregati in templum mediante die a praecedentibus claues templi et ad numerum omnia uasa percipiunt, nulla re, quae ad cibum aut potum adtineat, in templo delata. talia namque etiam ad altare 109
offerre prohibitum est praeter illa, quae ad sacrificia praeparantur. quid ergo Apionem esse dicimus nisi nihil horum examinantem uerba incredula protulisse? sed turpe est; historiae enim ueram notitiam se proferre grammaticus non promisit. et sciens templi 110
nostri pietatem hanc quidem praetermisit, hominis autem Graeci compraehensionem finxit et pabulum ineffabile et ciborum opulentissimam claritatem et seruos ingredientes ubi nec nobilissimos Iudaeorum licet intrare, nisi fuerint sacerdotes. hoc ergo pessima 111
est impietas atque mendacium spontaneum ad eorum seductionem, qui noluerint discutere ueritatem. per ea siquidem mala et ineffabilia, quae praedicta sunt, nobis detrahere temptauerunt.

9. Rursumque tamquam piissimus deridet adiciens fabulae suae 112

2 licebat] *licentiam* L *licentia fuit* ed. Bas. 3 *secundam uero porticum* ed. Bas. 5 *tertiam* ed. Bas. 7 *adytum*] ed. Bas. *aditum* codd. 13 altare] Paris. 5049 et ex corr. L *altera* C et ut uid. L^1 25 quid] *qui* C 27 non promisit] *compromisit* coni.

Mnaseam. ait enim illum retulisse, dum bellum Iudaei contra Iudaeos haberent longo quodam tempore in aliqua ciuitate Iudaeorum, qui Dorii nominantur, quendam eorum qui in ea Apollinem colebat uenisse ad Iudaeos, cuius hominis nomen dicit Zabidon deinde qui eis promisisset traditurum se eis Apollinem deum Doriensium uenturumque illum ad
113 nostrum templum, si omnes abscederent. et credidisse omnem multitudinem Iudaeorum; Zabidon uero fecisse quoddam machinamentum ligneum et circumposuisse sibi et in eo tres ordines infixisse lucernarum et ita ambulasse, ut procul stantibus appareret, quasi stellae per terram
114 *τὴν πορείαν ποιουμένων, τοὺς μὲν Ἰουδαίους ὑπὸ τοῦ παραδόξου τῆς θέας καταπεπληγμένους πόρρω μένοντας ἡσυχίαν ἄγειν, τὸν δὲ Ζάβιδον ἐπὶ πολλῆς ἡσυχίας εἰς τὸν ναὸν παρελθεῖν καὶ τὴν χρυσῆν ἀποσῦραι τοῦ κάνθωνος κεφαλήν, οὕτω γὰρ ἀστεϊζόμενος*
115 *γέγραφεν, καὶ πάλιν εἰς Δῶρα τὸ τάχος ἀπελθεῖν. ἆρα οὖν καὶ ἡμεῖς ἂν εἴποιμεν, ὅτι τὸν κάνθωνα τουτέστιν ἑαυτὸν Ἀπίων ἐπιφορτίζει καὶ ποιεῖ τῆς μωρολογίας ἅμα καὶ τῶν ψευσμάτων κατάγομον; καὶ γὰρ τόπους οὐκ ὄντας γράφει καὶ πόλεις οὐκ εἰδὼς με-*
116 *τατίθησιν. ἡ μὲν γὰρ Ἰδουμαία τῆς ἡμετέρας χώρας ἐστὶν ὅμορος κατὰ Γάζαν κειμένη, καὶ Δῶρα ταύτης ἐστὶν οὐδεμία πόλις, τῆς μέντοι Φοινίκης παρὰ τὸ Καρμήλιον ὄρος Δῶρα πόλις ὀνομάζεται μηδὲν ἐπικοινωνοῦσα τοῖς Ἀπίωνος φλυαρήμασι· τεσσάρων γὰρ*
117 *ἡμερῶν ὁδὸν τῆς Ἰουδαίας ἀφέστηκεν. τί δ' ἡμᾶν ἔτι κατηγορεῖ τὸ μὴ κοινοὺς ἔχειν τοῖς ἄλλοις θεούς, εἰ ῥᾳδίως οὕτως ἐπείσθησαν οἱ πατέρες ἡμῶν ἥξειν τὸν Ἀπόλλωνα πρὸς αὐτοὺς καὶ μετὰ τῶν ἄστρων ἐπὶ τῆς γῆς ᾠήθησαν ὁρᾶν αὐτὸν περιπατοῦντα;*
118 *λύχνον γὰρ οὐδέπω δῆλον ὅτι πρόσθεν ἑωράκασιν οἱ τὰς τοσαύτας καὶ τηλικαύτας λυχνοκαΐας ἐπιτελοῦντες, ἀλλ' οὐδέ τις αὐτῷ βαδίζοντι κατὰ τὴν χώραν τῶν τοσούτων μυριάδων ὑπήντησεν, ἔρημα δὲ καὶ τὰ τείχη φυλάκων εὗρε πολέμου συνεστηκότος, ἐῶ τἆλλα.*
119 *τοῦ ναοῦ δ' αἱ θύραι τὸ μὲν ὕψος ἦσαν ἑξήκοντα πηχῶν, εἴκοσι δὲ τὸ πλάτος, κατάχρυσοι δὲ πᾶσαι καὶ μικροῦ δεῖν σφυρήλα-*

---

1 Mnaseam] coni. *mnafeam* CL *innafeam* Par. 1615 *inania facta* ed. Bas. Iudaeos] *Idumaeos* Hudson, quod Iosephus dedit 2 Iudaeorum] *Idumaeorum* Hudson *quae dorin nominatur* Par. 5049 7 fecisse] *fuisse* CL Par. 5049 9 stellae] Cors. *stella* reliqui codd. 10 *τὴν — ποιουμένων*] *iter agentes* Lat *ιουδαίους*, supra σ lacunae causa m. alia pictum ⁖ L, uid. ad p. 61, 3 11 *μένοντας*] Bekker *μὲν ὄντασ* L *constitutos* Lat 13 *κάνθωνος*] Hudson *ἀκανθῶνοσ* L *asini* Lat 14 *εἰς Δῶρα*] *ad dora* Lat *εἰσ δῶριν* L *εἰς δώραν* ed. pr. *τὸ*] *κατὰ* ed. pr. 15 *κάνθωνα*] Hudson *ἀκανθῶνα* L *asinum* Lat 20 *carmelum* Lat 22 *Ἰουδαίας*] *Ἰδουμαίας* coni. 28 *ἔρημα*] ed. pr. *ἐρημία* L *desolatos (muros)* Lat 29 *et hoc* (h. e. *καὶ τοῦτο*) ante *πολέμου* add. Lat 30 *ἑξήκοντα*] Lat *ἑπτὰ* L

τοι· ταύτας ἔκλειον οὐκ ἐλάττους ὄντες ἄνδρες διακόσιοι καθ' ἑκάστην ἡμέραν καὶ τὸ καταλιπεῖν ἠνοιγμένας ἦν ἀθέμιτον. ῥᾳδίως οὖν 120
αὐτὰς ὁ λυχνοφόρος ἐκεῖνος ἀνοίξειν οἰόμενος καὶ τὴν τοῦ κάνθωνος
ὡς ᾤετο κεφαλὴν ἔχων. πότερον οὖν αὐτὴν πάλιν ὡς ἡμᾶς ἀνέ-
στρεψεν ἢ λαβὼν ἀπιὼν αὐτὴν εἰσεκόμισεν, ἵνα Ἀντίοχος εὕρῃ
πρὸς δευτέραν Ἀπίωνι μυθολογίαν 10 καταψεύσασθαί τινα καὶ 121
ὅρκον ἡμῶν ὡς ὀμνύοντων τὸν θεὸν τὸν ποιήσαντα τὸν οὐρανὸν
καὶ τὴν γῆν καὶ τὴν θάλασσαν μηδενὶ εὐνοήσειν ἀλλοφύλῳ, μάλιστα
δὲ Ἕλλησιν. ἔδει δὲ καταψευδόμενον ἅπαξ εἰπεῖν μηδενὶ εὐνοήσειν 122
ἀλλοφύλῳ, μάλιστα δ' Αἰγυπτίοις· οὕτως γὰρ ἂν τοῖς ἐξ ἀρχῆς
αὐτοῦ πλάσμασιν ἥρμοττεν τὰ περὶ τὸν ὅρκον, εἴπερ ἦσαν ὑπὸ
Αἰγυπτίων τῶν συγγενῶν οἱ πατέρες ἡμῶν οὐχὶ διὰ πονηρίαν
ἀλλ' ἐπὶ συμφοραῖς ἐξεληλαμένοι. τῶν Ἑλλήνων δὲ πλέον τοῖς 123
τόποις ἢ τοῖς ἐπιτηδεύμασιν ἀφεστήκαμεν, ὥστε μηδεμίαν ἡμῖν
εἶναι πρὸς αὐτοὺς ἔχθραν μηδὲ ζηλοτυπίαν. τοὐναντίον μέντοι
πολλοὶ παρ' αὐτῶν εἰς τοὺς ἡμετέρους νόμους συνέβησαν εἰσελθεῖν,
καί τινες μὲν ἐνέμειναν, εἰσὶ δ' οἳ τὴν καρτερίαν οὐχ ὑπομείναντες
πάλιν ἀπέστησαν. καὶ τούτων οὐδεὶς πώποτε τὸν ὅρκον εἶπεν 124
ἀκοῦσαι παρ' ἡμῖν ὀμωμοσμένον, ἀλλὰ μόνος Ἀπίων, ὡς ἔοικεν,
ἤκουσεν· αὐτὸς γὰρ ὁ συνθεὶς αὐτὸν ἦν.

11. Σφόδρα τοίνυν τῆς πολλῆς συνέσεως καὶ ἐπὶ τῷ μέλλοντι 125
ῥηθήσεσθαι θαυμάζειν ἄξιόν ἐστιν Ἀπίωνα· τεκμήριον γὰρ εἶναί
φησιν τοῦ μήτε νόμοις ἡμᾶς χρῆσθαι δικαίοις μήτε τὸν θεὸν εὐσε-
βεῖν ὡς προσῆκεν, δουλεύειν δὲ μᾶλλον ἔθνεσιν [καὶ] ἄλλοτε ἄλλοις
καὶ τὸ κεχρῆσθαι συμφοραῖς τισι περὶ τὴν πόλιν, αὐτοὶ δῆλον ὅτι

---

1 διακόσιοι] εἴκοσι Hudson ex bell. Iud. VI 5. 3 3 ἠνέωξεν ἂν ante ἀνοίξειν add. ed. pr. ἀνοίξειν — 4 ἔχων] *aperuisse creditur, qui solus etiam habuisse asini caput aestimabatur* Lat ἀνέῳξεν, οἶμαι, μόνος καὶ τὴν τοῦ κάνθωνος ᾤχετο κεφαλὴν ἔχων coni. κάνθωνος] Hudson ἀκανθῶνος L 4 πότερον — 7 ὀμνύντων] *quapropter dubium est, utrum hoc caput zabidon denuo reuocauit, an certe sumens apion introduxit in templum, ut antiochus inueniret, unde in secundo apioni aliquam mentiendi daret occasionem et conscribendi uerba iurantium* Lat, partim rectius; sententia restituetur, si u. 4 αὐτὴν in αὐτὴ mutaueris; deinde εἰς τὸ ἱερόν post εἰσεκόμισε inserendum uid 5 ἀπιὼν] Ἀπίων ed. pr. ex Lat 6 καταψεύσασθαί τινα] καταψεύδεται δὲ ed. pr. 12 τῶν συγγενῶν om. Lat 13 ἐξεληλασμένοι L¹ 18 τούτων] L¹ τοῦτον ex corr. L et Lat 19 ὀμωσμένον L, corr. Dindorf 21 συνέσεως] ed. pr. συνθέσεως L *compositio* Lat 24 τὸ μὴ ἄρχειν ante δουλεύειν add. ed. pr. δουλεύειν — ἄλλοις] *et diuersis gentibus seruiamus* Lat καὶ spurium 25 αὐτοὶ] αὐτῶν ed. pr. αὐτοὶ — 70, 3 μεγαλοψυχίας] *cum utique principalis ciuitas romanorum sit, cuius ciues soli ab initio regnare atque non seruire consueuerunt; quis etenim ab horum magnanimitate se ualeat abstinere* Lat

πόλεως ἡγεμονικωτάτης Ῥωμαίοις ἐκ τῶν ἄνωθεν ἄρχειν, ἀλλὰ μὴ
126 δουλεύειν συνειθισμένων· καίτοι τούτων ἄν τις ἀπόσχοιτο τοιαύ-
της μεγαλοψυχίας. τῶν μὲν γὰρ ἄλλων οὐκ ἔστιν ὅστις ἀνθρώ-
πων οὐχ ἱκανῶς καθ' αὑτοῦ φαίη τοῦτον ὑπ' Ἀπίωνος λελέχθαι
127 τὸν λόγον· ὀλίγοις μὲν γὰρ ὑπῆρξεν ἐφ' ἡγεμονίας διακαιροπτίας
γενέσθαι, καὶ τούτους αἱ μεταβολαὶ πάλιν ἄλλοις δουλεύειν ὑπέζευ-
128 ξαν, τὸ πλεῖστον δὲ φῦλον ἄλλων ὑπακήκοεν πολλάκις. Αἰγύπτιοι
δ' ἄρα μόνοι διὰ τὸ καταφυγεῖν, ὥς φασιν, εἰς τὴν χώραν αὐτῶν
τοὺς θεοὺς καὶ σωθῆναι μεταβάλλοντας εἰς μορφὰς θηρίων ἐξαί-
ρετον γέρας εὕροντο τὸ μηδενὶ δουλεῦσαι τῶν τῆς Ἀσίας ἢ τῆς
Εὐρώπης κρατησάντων, οἱ μίαν ἡμέραν ἐκ τοῦ παντὸς αἰῶνος ἐλευ-
129 θερίας οὐ τυχόντες ἀλλ' οὐδὲ παρὰ τῶν οἰκοδεσποτῶν. ὄντινα μὲν
γὰρ αὐτοῖς ἐχρήσαντο Πέρσαι τρόπον οὐχ ἅπαξ μόνον ἀλλὰ καὶ πολ-
λάκις πορθοῦντες τὰς πόλεις ἱερὰ κατασκάπτοντες τοὺς παρ' αὐτοῖς
130 νομιζομένους θεοὺς κατασφάζοντες, οὐκ ἂν ὀνειδίσαιμι· μιμεῖσθαι
γὰρ οὐ προσῆκεν τὴν Ἀπίωνος ἀπαιδευσίαν, ὃς οὔτε τὰς Ἀθηναίων
τύχας οὔτε τὰς Λακεδαιμονίων ἐνενόησεν, ὧν τοὺς μὲν ἀνδρειοτάτους
131 εἶναι, τοὺς δὲ εὐσεβεστάτους τῶν Ἑλλήνων ἅπαντες λέγουσιν. ἐῶ
βασιλέας τοὺς ἐπ' εὐσεβείᾳ διαβοηθέντας [ὧν ἕνα Κροῖσον], οἵαις
ἐχρήσαντο συμφοραῖς βίου· ἐῶ τὴν καταπρησθεῖσαν Ἀθηναίων
ἀκρόπολιν, τὸν ἐν Ἐφέσῳ ναόν, τὸν ἐν Δελφοῖς, ἄλλους μυρίους,
καὶ οὐδεὶς ὠνείδισεν ταῦτα τοῖς παθοῦσιν, ἀλλὰ τοῖς δράσασιν.
132 καινὸς δὲ κατήγορος ἡμῶν Ἀπίων ηὑρέθη τῶν ἰδίων αὐτοῦ περὶ
τὴν Αἴγυπτον κακῶν ἐκλαθόμενος, ἀλλὰ Σέσωστρις αὐτὸν ὁ μυθευό-
μενος Αἰγύπτου βασιλεὺς ἐτύφλωσεν· ἡμεῖς δὲ τοὺς ἡμετέρους οὐκ
ἂν εἴποιμεν βασιλέας Δαυίδην καὶ Σολομῶνα πολλὰ χειρωσαμένους
133 ἔθνη. τούτους μὲν οὖν παραλίπωμεν· τὰ δὲ γνώριμα πᾶσιν Ἀπίων

---

1 Ῥωμαίοις post μὴ tr. ed. pr. 2 συνηθισμένων L, corr. Dindorf 2 ἀνάσχοιτο coni. 3 μεγαλανχίας coni. 4 ἱκανῶς] ed. pr. ἱκανὸς L 5 διακαιροπτίας L *continue* Lat 9 μεταβαλόντας ed. pr. 10 δουλεύειν ed. pr. 11 οἱ L 12 τυχόντες] τυχόντες φαίνονται ed. pr. ἀλλ' — οἰκοδεσποτῶν] *neque apud indigenas dominos neque apud externos* Lat 13 αὐτοῖσ, οῖσ i. ras. L 18 i. marg.: *δια τοῦτο καὶ ὁ ἀπόστολος φησι ὡσ δεισιδαιμονεστατουσ ὑμᾶσ θεωρῶ* m. 1 L (uid. act. apost. 17, 22) ἐῶ — 20 βίου] *relinquo etiam reges pietate famosissimos quorum summi diuersis uitae calamitatibus sunt sanciati* Lat 19 ὧν ἕνα Κροῖσον ualde suspectum 20 ἐχρήσαντο] coni. ex Lat ἐχρήσατο L 22 καὶ οὐδεὶς — δράσασιν] *pro quibus nullus intulit sustinentibus sed potius inferentibus improperia* Lat 23 καινὸς] ed. pr. κενὸσ L *nouus* Lat 25 οὐκ om. Lat 27 τούτους — παραλίπωμεν] *sed de his modo supersedendum est* Lat h. e. ἀλλὰ τούτους μὲν νῦν παραλίπωμεν παραλίπομεν L, corr. ed. pr. Ἀπίων] *apion modis omnibus* Lat, h. e. fort. Ἀπίων παντάπασιν

ἠγνόηκεν, ὅτι Περσῶν καὶ μετ' ἐκείνους ἡγουμένων τῆς Ἀσίας Μακεδόνων Αἰγύπτιοι μὲν ἐδούλευον ἀνδραπόδων οὐδὲν διαφέροντες, ἡμεῖς δὲ ὄντες ἐλεύθεροι προσέτι καὶ τῶν πέριξ πόλεων ἤρχομεν 134
ἔτη σχεδὸν εἴκοσί που καὶ ρ' μέχρι Μάγνου Πομπηίου, καὶ πάντων ἐκπολεμηθέντων πρὸς Ῥωμαίων τῶν πανταχοῦ βασιλέων μόνοι διὰ πίστιν οἱ παρ' ἡμῖν σύμμαχοι καὶ φίλοι διεφυλάχθησαν.

12. Ἀλλὰ θαυμαστοὺς ἄνδρας οὐ παρεσχήκαμεν οἷον τεχνῶν 135
τινων εὑρετὰς ἢ σοφίᾳ διαφέροντας. καὶ καταριθμεῖ Σωκράτην καὶ Ζήνωνα καὶ Κλεάνθην καὶ τοιούτους τινάς. εἶτα τὸ θαυμασιώτατον τοῖς εἰρημένοις αὐτὸς ἑαυτὸν προστίθησι καὶ μακαρίζει
τὴν Ἀλεξάνδρειαν, ὅτι τοιοῦτον ἔχει πολίτην· ἔδει γὰρ αὐτῷ μάρ- 136
τυρος ἑαυτοῦ· τοῖς μὲν γὰρ ἄλλοις ἅπασιν ὀχλαγωγὸς ἐδόκει πονηρὸς εἶναι καὶ τῷ βίῳ καὶ τῷ λόγῳ διεφθαρμένος, ὥστε εἰκότως ἐλεήσαι τις ἂν τὴν Ἀλεξάνδρειαν, εἴπερ ἐπὶ τούτῳ μέγα ἐφρόνει.
περὶ δὲ τῶν παρ' ἡμῖν ἀνδρῶν γεγονότων οὐδενὸς ἧττον ἐπαίνου τυγχάνειν ἀξίων ἴσασιν οἱ ταῖς ἡμετέραις ἀρχαιολογίαις ἐντυγχάνοντες.

13. Τὰ λοιπὰ τῶν ἐν τῇ κατηγορίᾳ γεγραμμένων ἄξιον ἦν 137
ἴσως ἀναπολόγητα παραλιπεῖν, ἵν' αὐτὸς αὐτοῦ καὶ τῶν ἄλλων Αἰγυπτίων ᾖ ὁ κατηγορῶν· ἐγκαλεῖ γάρ, ὅτι ζῷα θύομεν καὶ χοῖρον οὐκ ἐσθίομεν καὶ τὴν τῶν αἰδοίων χλευάζει περιτομήν. τὸ μὲν 138
οὖν περὶ τῆς τῶν ἡμέρων ζῴων ἀναιρέσεως κοινόν ἐστι καὶ πρὸς τοὺς ἄλλους ἀνθρώπους ἅπαντας, Ἀπίων δὲ τοῖς θύουσιν ἐγκαλῶν αὐτὸν ἐξήλεγξεν ὄντα τὸ γένος Αἰγύπτιον· οὐ γὰρ ἂν Ἕλλην ὢν ἤ Μακεδὼν ἐχαλέπαινεν· οὗτοι γὰρ εὔχονται θύειν ἑκατόμβας τοῖς θεοῖς καὶ χρῶνται τοῖς ἱερείοις πρὸς εὐωχίαν, καὶ οὐ διὰ τοῦτο συμβέβηκεν ἐρημοῦσθαι τὸν κόσμον τῶν βοσκημάτων, ὅπερ Ἀπίων ἔδεισεν. εἰ μέντοι τοῖς Αἰγυπτίων ἔθεσιν ἠκολούθουν 139
ἅπαντες, ἠρήμωτο μὲν ἂν ὁ κόσμος τῶν ἀνθρώπων, τῶν ἀγριωτάτων δὲ θηρίων ἐπληθύνθη, ἃ θεοὺς οὗτοι νομίζοντες ἐπιμελῶς ἐκτρέφουσιν. καὶ μὴν εἴ τις αὐτὸν ἴρετο, τῶν πάντων Αἰγυπτίων 140
τίνας εἶναι καὶ σοφωτάτους καὶ θεοσεβεῖς νομίζει, πάντως ἂν ὑμο-

---

5 ἐκπολεμωθέντων πρὸς Ῥωμαίους coni. 6 οἱ παρ' ἡμῖν] *maiores nostri* Lat h. e. οἱ πατέρες ἡμῶν 7 οἷον] *uelut* Lat ἤ coni. 8 καταριθμεῖ L 10 τοῖς εἰρημένοις] coni. *his* Lat τῶν εἰρημένων L 11 post πολίτην add. *quod rite facit* Lat h. e. ὀρθῶς ποιῶν 14 ἐλεῆσαι L, corr. ed. pr. 18 τὰ λοιπὰ] *reliqua uero* Lat τὰ δὲ λοιπὰ ed. pr. 20 ζῷα] *animalia consueta* Lat, unde ζῷα ἥμερα coni. 22 ἡμέρων] ed. pr. ἡμετέρων LLat 25 ἑκατόμβας] ἑκατωμβωια *id est centumboa* Lat 26 τοῖς ἱερείοις] *sacerdotibus* Lat 31 εἴρετο L

141 λόγησε τοὺς ἱερεῖς· δύο γὰρ αὐτούς φασιν ὑπὸ τῶν βασιλέων ἐξ
ἀρχῆς ταῦτα προστετάχθαι, τὴν τῶν θεῶν θεραπείαν καὶ τῆς σο-
φίας τὴν ἐπιμέλειαν. ἐκεῖνοι τοίνυν ἅπαντες καὶ περιτέμνονται
καὶ χοιρείων ἀπέχονται βρωμάτων, οὐ μὴν οὐδὲ τῶν ἄλλων Αἰγυπ-
142 τίων οὐδὲ εἷς ὃν θύει τοῖς θεοῖς. ἆρ᾽ οὖν τυφλὸς ἦν τὸν νοῦν
Ἀπίων ὑπὲρ Αἰγυπτίων ἡμῖν λοιδορεῖν συνθέμενος, ἐκείνων δὲ
κατηγορῶν, οἵ γε μὴ μόνον χρῶνται τοῖς ὑπὸ τούτου λοιδορου-
μένοις ἔθεσιν, ἀλλὰ καὶ τοὺς ἄλλους ἐδίδαξαν περιτέμνεσθαι, κα-
143 θάπερ εἴρηκεν Ἡρόδοτος; ὅθεν εἰκότως μοι δοκεῖ τῆς εἰς τοὺς
πατρίους αὐτοῦ νόμους βλασφημίας δοῦναι δίκην Ἀπίων τὴν πρέ-
πουσαν· περιετμήθη γὰρ ἐξ ἀνάγκης ἑλκώσεως αὐτῷ περὶ τὸ αἰ-
δοῖον γενομένης, καὶ μηδὲν ὠφεληθεὶς ὑπὸ τῆς περιτομῆς ἀλλὰ
144 σηπόμενος ἐν δειναῖς ὀδύναις ἀπέθανεν. δεῖ γὰρ τοὺς εὖ φρονοῦν-
τας τοῖς μὲν οἰκείοις νόμοις περὶ τὴν εὐσέβειαν ἀκριβῶς ἐμμένειν,
τοὺς δὲ τῶν ἄλλων μὴ λοιδορεῖν· ὁ δὲ τούτους μὲν ἔφυγεν, τῶν
ἡμετέρων δὲ κατεψεύσατο. τοῦτο μὲν Ἀπίωνι τοῦ βίου τὸ τέλος
ἐγένετο καὶ τοῦτο [παρ᾽] ἡμῶν ἐνταῦθα τὸ πέρας ἔστω τοῦ λόγου.
145 14. Ἐπεὶ δὲ καὶ Ἀπολλώνιος ὁ Μόλων καὶ Λυσίμαχος καί
τινες ἄλλοι τὰ μὲν ὑπ᾽ ἀγνοίας, τὸ πλεῖστον δὲ κατὰ δυσμένειαν
περί τε τοῦ νομοθετήσαντος ἡμῖν Μωσέως καὶ περὶ τῶν νόμων
πεποίηνται λόγους οὔτε δικαίους οὔτε ἀληθεῖς, τὸν μὲν ὡς γόητα
καὶ ἀπατεῶνα διαβάλλοντες, τοὺς νόμους δὲ κακίας ἡμῖν καὶ οὐδε-
μιᾶς ἀρετῆς φάσκοντες εἶναι διδασκάλους, βούλομαι συντόμως καὶ
περὶ τῆς ὅλης ἡμῶν καταστάσεως τοῦ πολιτεύματος καὶ περὶ τῶν
146 κατὰ μέρος ὡς ἂν ᾖ δυνατὸς εἰπεῖν. οἶμαι γὰρ ἔσεσθαι φανερόν,
ὅτι καὶ πρὸς εὐσέβειαν καὶ πρὸς κοινωνίαν τὴν μετ᾽ ἀλλήλων καὶ
πρὸς τὴν καθόλου φιλανθρωπίαν ἔτι δὲ πρὸς δικαιοσύνην καὶ τὴν
ἐν τοῖς πόνοις καρτερίαν καὶ θανάτου περιφρόνησιν ἄριστα κειμέ-
147 νους ἔχομεν τοὺς νόμους. παρακαλῶ δὲ τοὺς ἐντευξομένους τῇ
γραφῇ μὴ μετὰ φθόνου ποιεῖσθαι τὴν ἀνάγνωσιν· οὐ γὰρ ἐγκώμιον
ἡμῶν αὐτῶν προειλόμην συγγράφειν, ἀλλὰ πολλὰ καὶ ψευδῆ κατη-
γορουμένοις ἡμῖν ταύτην ἀπολογίαν δικαιοτάτην εἶναι νομίζω τὴν
148 ἀπὸ τῶν νόμων, καθ᾽ οὓς ζῶντες διατελοῦμεν. ἄλλως τε καὶ τὴν

---

2 τὴν] τήν τε ed. pr. 3 post ἐπιμέλειαν add. *quod illi facere praecipue iudicantur* Lat 5 ὃν θύει] coni. συνθύει LLat 6 ἡμῖν] ἡμᾶς ed. pr. 17 καὶ τοῦτο — λόγου] *sed et noster hic iam finem liber accipiet* Lat παρ᾽ spurium uid. 18 ἐπεὶ δὲ] Dindorf ἐπειδὴ L *quoniam uero* Lat *Apollonius Molonis* uocatur § 79, ubi uid. notam 19 δυσμένειαν] *insaniam* Lat 20 *moyse* Lat 26 καὶ πρὸς κοινωνίαν om. Lat 31 αὐτῶν L, corr. ed. pr. κατηγορημένοις ed. pr. 32 τὴν ἀπὸ — 33 διατελοῦμεν om. Lat

κατηγορίαν δ᾽ Ἀπολλώνιος οὐκ ἀθρόαν ὥσπερ ὁ Ἀπίων ἔταξεν, ἀλλὰ σποράδην, καὶ δὴ εἴπας ποτὲ μὲν ὡς ἀθέους καὶ μισανθρώπους λοιδορεῖ, ποτὲ δ᾽ αὖ δειλίαν ἡμῖν ὀνειδίζει καὶ τοὔμπαλιν ἔστιν ὅπου τόλμαν κατηγορεῖ καὶ ἀπόνοιαν. λέγει δέ καὶ ἀφυεστάτους εἶναι τῶν βαρβάρων καὶ διὰ τοῦτο μηδὲν εἰς τὸν βίον εὕρημα συμβεβλῆσθαι μόνους. ταῦτα δὲ πάντα διελεγχθήσεσθαι νομίζω 149
σαφῶς, εἰ τἀναντία τῶν εἰρημένων φανείη καὶ διὰ τῶν νόμων ἡμῖν προστεταγμένα καὶ πραττόμενα μετὰ πάσης ἀκριβείας ὑφ᾽ ἡμῶν. εἰ δ᾽ ἄρα βιασθείην μνησθῆναι τῶν παρ᾽ ἑτέροις ὑπεναν- 150
τίως νενομισμένων, τούτου δίκαιοι τὴν αἰτίαν ἔχειν εἰσὶν οἱ τὰ παρ᾽ ἡμῖν ὡς χείρω παραβάλλειν ἀξιοῦντες· οἷς οὐδέτερον ἀπολειφθήσεσθαι νομίζω λέγειν, οὔθ᾽ ὡς οὐχὶ τούτους ἔχομεν τοὺς νόμους, ὧν ἐγὼ παραθήσομαι τοὺς κεφαλαιωδεστάτους, οὔθ᾽ ὡς οὐχὶ μάλιστα πάντων ἐμμένομεν τοῖς ἑαυτῶν νόμοις.

15. Μικρὸν οὖν ἀναλαβὼν τὸν λόγον τοῦτ᾽ ἂν εἴποιμι πρῶ- 151
τον, ὅτι τῶν ἀνόμως καὶ ἀτάκτως βιούντων οἱ τάξεως καὶ νόμου κοινωνίας ἐπιθυμηταὶ γενόμενοι καὶ πρῶτοι κατάρξαντες εἰκότως ἂν ἡμερότητι καὶ φύσεως ἀρετῇ διενεγκεῖν μαρτυρηθείεν. ἀμέλει 152
πειρῶνται τὰ παρ᾽ αὐτοῖς ἕκαστοι πρὸς τὸ ἀρχαιότατον ἀνάγειν, ἵνα μὴ μιμεῖσθαι δόξωσιν ἑτέρους, ἀλλ᾽ αὐτοὶ τοῦ ζῆν νομίμως ἄλλοις ὑφηγήσασθαι. τούτων δὲ τοῦτον ἐχόντων τὸν τρόπον ἀρετὴ 153
μέν ἐστι νομοθέτου τὰ βέλτιστα συνιδεῖν καὶ πεῖσαι τοὺς χρησομένους περὶ τῶν ὑπ᾽ αὐτοῦ τιθεμένων, πλήθους δὲ τὸ πᾶσι τοῖς δόξασιν ἐμμεῖναι καὶ μήτε εὐτυχίαις μήτε συμφοραῖς αὐτῶν μηδὲν μεταβάλλειν. φημὶ τοίνυν τὸν ἡμέτερον νομοθέτην τῶν ὁπουδή- 154
ποτοῦν μνημονευομένων νομοθετῶν προάγειν ἀρχαιότητι· Λυκοῦργοι γὰρ καὶ Σόλωνες καὶ Ζάλευκος ὁ τῶν Λοκρῶν καὶ πάντες οἱ θαυμαζόμενοι παρὰ τοῖς Ἕλλησιν ἐχθὲς δὴ καὶ πρώην ὡς πρὸς ἐκεῖνον

LLatCosmas Indicopl. XII p. 342 E

2 *καὶ δὴ — 3 δ᾽ αὖ*] *quippe cum aliquando quidem nos sine deo et hominibus odiosos appellet, aliquando uero* Lat 2 *δὴ εἴπας*] *διὰ πάσης τῆς συγγραφῆς* ed. pr., haud male sed uix recte; nam desideratur quod insequenti contrarium sit, uelut *καὶ δὴ εἴπας ποτὲ μὲν δεισιδαιμονεστάτους πάντων ἄλλοτε ὡς ἀθέους* 7 *καὶ* om. ed. pr. 9 *ὑπεναντίως*] ed. pr. *ὑπεναντίων* L *contrariarum* Lat 12 *οὔθ᾽*] ed. pr. *οὐδ᾽* L *οὐχὶ* om. Lat 15 *τὸν λόγον*] *onus* Lat 19 *παρ᾽ ἑαυτοῖς* ed. pr. 20 *μὴ*] ed. pr., om. LLat *ἀλλ᾽*] ed. pr. *ἀλλ᾽ οὐκ* LLat 21 *δὲ*] *δὴ* coni. 26 *Λυκοῦργοι*] abhinc exscripsit Cosmas 27 *γὰρ* om. Cosmas *Ζάλευκος*] *Τεῦκρος* Cosmas *οἱ — 28 Ἕλλησιν*] *οἱ λοιποὶ* Cosmas 28 *ἐχθὲς*] Dindorf *ὥσ ἐχθὲσ* L *ὡς χθὲς* Cosmas, a Lat *ὡς* abest *δὴ* om. Cosmas *ὡς* om. Cosmas *ἐκεῖνον*] *ἐκεῖνον τὸν Μωϋσέα* Cosmas

παραβαλλόμενοι φαίνονται γεγονότες, ὅπου γε μηδ' αὐτὸ τοὔνομα
155 πάλαι ἐγιγνώσκετο τοῦ νόμου παρὰ τοῖς Ἕλλησι. καὶ μάρτυς Ὅμηρος οὐδαμοῦ τῆς ποιήσεως αὐτῷ χρησάμενος· οὐδὲ γὰρ ἦν κατὰ τοῦτον, ἀλλὰ γνώμαις ἀορίστοις τὰ πλήθη διῳκεῖτο καὶ προστάγμασι τῶν βασιλέων, ἀφ' οὗ καὶ μέχρι πολλοῦ διέμειναν ἔθεσιν ἀγράφοις χρώμενοι καὶ πολλὰ τούτων ἀεὶ πρὸς τὸ συντυγχάνον
156 μετατιθέντες. ὁ δ' ἡμέτερος νομοθέτης ἀρχαιότατος γεγονώς, τοῦτο γὰρ δήπουθεν ὁμολογεῖται καὶ παρὰ τοῖς πάντα καθ' ἡμῶν λέγουσιν, ἑαυτόν τε παρέσχεν ἄριστον τοῖς πλήθεσιν ἡγεμόνα καὶ σύμβουλον τήν τε κατασκευὴν αὐτοῖς ὅλην τοῦ βίου τῷ νόμῳ περιλαβὼν ἔπεισεν παραδέξασθαι καὶ βεβαιοτάτην εἰς ἀεὶ φυλαχθῆναι παρεσκεύασεν.

157 16. Ἴδωμεν δὲ τῶν ἔργων αὐτοῦ τὸ πρῶτον μεγαλεῖον· ἐκεῖνος γὰρ τοὺς προγόνους ἡμῶν, ἐπείπερ ἔδοξεν αὐτοῖς τὴν Αἴγυπτον ἐκλιποῦσιν ἐπὶ τὴν πάτριον γῆν ἐπανιέναι, πολλὰς τὰς μυριάδας παραλαβὼν ἐκ πολλῶν καὶ ἀμηχάνων διέσωσεν εἰς ἀσφάλειαν· καὶ γὰρ τὴν ἄνυδρον αὐτοὺς καὶ πολλὴν ψάμμον ἔδει διοδοιπορῆσαι καὶ νικῆσαι πολεμίους καὶ τέκνα καὶ γυναῖκας καὶ λείαν ὁμοῦ σώ-
158 ζειν μαχομένους. ἐν οἷς ἅπασι καὶ στρατηγὸς ἄριστος ἐγένετο καὶ σύμβουλος συνετώτατος καὶ πάντων κηδεμὼν ἀληθέστατος. ἅπαν δὲ τὸ πλῆθος εἰς ἑαυτὸν ἀνηρτῆσθαι παρεσκεύασεν, καὶ περὶ παντὸς ἔχων πεισθέντας [ἀντὶ τοῦ κελευσθέντος] εἰς οὐδεμίαν οἰκείαν ἔλαβεν ταῦτα πλεονεξίαν, ἀλλ' ἐν ᾧ μάλιστα τοῦ καιροῦ δυνάμεις μὲν αὐτοῖς περιβάλλονται καὶ τυραννίδας οἱ προεστηκότες, ἐθίζουσι
159 δὲ τὰ πλήθη μετὰ πολλῆς ζῆν ἀνομίας, ἐν τούτῳ τῆς ἐξουσίας ἐκεῖνος καθεστηκὼς τοὐναντίον ᾠήθη δεῖν εὐσεβεῖν καὶ πολλὴν εὔνοιαν τοῖς λαοῖς ἐμπαρασχεῖν, οὕτως αὐτός τε τὰ μάλιστα τὴν ἀρετὴν ἐπιδείξειν τὴν αὐτοῦ νομίζων καὶ σωτηρίαν τοῖς αὐτὸν ἡγε-

---

LLatCosmas Indicopl. XII p. 342 E.

1 *μὴδε* Cosmas 2 *ἐγινώσκετο* Cosmas 3 *οὐδὲ*] *οὐδὲν* Cosmas 4 *ἀρίστοις* Cosmas *τὰ* om. Cosmas 7 *ὁ δ'* — 77, 15 (§ 172) *οἷον* om. Cosmas 10 *ὅλην*] *totius* Lat *περιλαβὼν*] Bekker *παραλαβὼν* L *constringens* Lat 11 *εἰς ἀεὶ*] Bekker *ἴσασι* L *indita scientia* Lat 15 *τὰς*] *ὄντας* coni. 18 *πολεμίους*] coni. *πολέμους* LLat 22 *ἀντὶ τοῦ κελευσθέντος* om. Lat recte *ἀντὶ*] *αὐτοὺς* ed. pr. *εἰς* — 23 *πλεονεξίαν*] *in nullo horum uindicauit sibimet potestatem* Lat *οἰκίαν* L 23 *ταῦτα*] ed. pr. *ταύτην* L 24 *αὐτοῖς* ed. pr. 25 *ζῆν ἀνομίας*] coni. *iniquitate uiuere* Lat *ἀνομίας* L *ἀνομίας ζῆν* Hudson 27 *εὔνοιαν*] *aequitatem* Lat *εὐνομίαν* coni. *τοῖς λαοῖς*] *aliis* Lat *οὕτως*] ed. pr. *οὕτος* L, om. Lat 28 *αὐτοῦ*] ed. pr. *αὐτοῦς* (*σ* abbreuiato) L

μόνα πεποιημένοις βεβαιοτάτην παρέξειν. καλῆς οὖν αὐτῷ προαι- 160
ρέσεως καὶ πράξεων μεγάλων ἐπιτυγχανομένων εἰκότως ἐνόμιζεν
ἡγεμόνα τε καὶ σύμβουλον θεὸν ἔχειν, καὶ πείσας πρότερον ἑαυτὸν
ὅτι κατὰ τὴν ἐκείνου βούλησιν ἅπαντα πράττει καὶ διανοεῖται,
ταύτην ᾧετο δεῖν πρὸ παντὸς ἐμποιῆσαι τὴν ὑπόληψιν τοῖς πλή-
θεσιν· οἱ γὰρ πιστεύσαντες ἐπισκοπεῖν θεὸν τοὺς ἑαυτῶν βίους
οὐθὲν ἀνέχονται ἐξαμαρτεῖν. τοιοῦτος μὲν δή τις [αὐτὸς] ἡμῶν ὁ 161
νομοθέτης, οὐ γόης οὐδ' ἀπατεών, ἅπερ λοιδοροῦντες λέγουσιν
ἀδίκως, ἀλλ' οἵους παρὰ τοῖς Ἕλλησιν αὐχοῦσιν τὸν Μίνω γεγο-
νέναι καὶ μετὰ ταῦτα τοὺς ἄλλους νομοθέτας· οἱ μὲν γὰρ αὐτῶν 162
τοὺς νόμους ὑποτίθενται, ὁ δέ γε Μίνως ἔλεγεν ὅτι εἰς τὸν Ἀπόλλω
καὶ τὸ Δελφικὸν αὐτοῦ μαντεῖον τὰς τῶν νόμων μαντείας ἀνέφερεν,
ἤτοι τἀληθὲς οὕτως ἔχειν νομίζοντες ἢ πείσειν ῥᾷον ὑπολαμβά-
νοντες. τίς δ' ἦν ὁ μάλιστα κατορθώσας τοὺς νόμους καὶ τῆς 163
δικαιοτάτης περὶ θεοῦ πίστεως ἐπιτυχών, πάρεστιν ἐξ αὐτῶν κατα-
νοεῖν τῶν νόμων ἀντιπαραβάλλοντας· ἤδη γὰρ περὶ τούτων λεκτέον.
οὐκοῦν ἄπειροι μὲν αἱ κατὰ μέρος τῶν ἐθῶν καὶ τῶν νόμων παρὰ 164
τοῖς ἅπασιν ἀνθρώποις διαφοραί, * κεφαλαιωδῶς ἂν ἐπίοι τις·
οἱ μὲν γὰρ μοναρχίαις, οἱ δὲ ταῖς ὀλίγων δυναστείαις, ἄλλοι δὲ
τοῖς πλήθεσιν ἐπέτρεψαν τὴν ἐξουσίαν τῶν πολιτευμάτων. ὁ δ' 165
ἡμέτερος νομοθέτης εἰς μὲν τούτων οὐδοτιοῦν ἀπεῖδεν, ὡς δ' ἄν

LLatEusebius praep. euang. VIII 8

1 *βεβαιοτάτην*] *βεβαιωτὴν* ed. pr. *firmissimam* Lat *βεβαιωτὴν* L *παρέξειν, ἐξ* ex *ευ* corr. uid. L *καλῆς* — 2 *ἐπιτυγχανομένων*] *et maximis actibus in singulis casibus usus est* Lat; pro *καλῆς* coni. *ἐκ τοιαύτης* omisso proximo *καὶ*, nisi forte *καλῆς* — *προαιρ'σεως* spuria sunt 2 *ἐνόμιζεν*] *iudicabat* Lat *ἐνομίζομεν* L 3 *θεὸν*] *deum* Lat *θεῖον* L 7 *αὐτὸς* om. Lat 9 *οἵους*] coni. *quales* Lat *ὃν* L *οἷον* ed. pr. *αὐχοῦσιν*] ed. pr. *gloriantur* Lat *αὐχοῦντεσ* L 10 *μετὰ ταῦτα*] *μετ' αὐτὸν* ed. pr. *post eum* Lat *οἱ μὲν* — 12 *ἀνέφερεν*] *namque quidam eorum leges positas a mino* (*animo* codd.) *dicebant, alii uero eas in apollinem et uaticinium delficam* (sic) *referebant* Lat, qui et ipse corrupta legebat; sententia postulatur haec fere: *οἱ μὲν γὰρ αὐτῶν τοὺς νόμους ὑποτίθενται Διί, οἱ δ' εἰς τὸν Ἀπόλλω καὶ τὸ Δελφικὸν αὐτοὺς μαντεῖον ἀνέφερον;* reliqua ex nota marginali orta uid. 14 *τίς δ'*] incip. Euseb *τῆς δικαιοτάτης*] Euseb. *τίσ ὁ δικαιότατα* LLat 15 *θεοῦ*] Eus. cod. G *τῆσ τοῦ θεοῦ* LLat *τοῦ θεοῦ* Eus. cod. J *κατανοεῖν*] *νοεῖν* Eus. codd. BG 16 *ἀντιπαραβάλλοντας*] Euseb. *ἀντιβάλλοντασ* L *τούτων*] *ipsis* Lat 17 *ἐθῶν*] Euseb. *ἐθνῶν* LLat 18 *κεφαλαιωδῶς* — *τις*] Eus., om. LLat *κεφαλαιωδῶς*] *οὕτω δὲ ταύτας κεφαλαιωδῶς* Vigerus *κεφαλαιωδῶς δ' αὐτὰς οὕτως* uel simile coni. 19 *μοναρχίαις*] Euseb. *μοναρχίασ* L *monarchis* Lat *οἱ δὲ* — *δυναστείαις* om. Lat *ταῖς*] Euseb. *τὰσ* L *δυναστείαις*] Euseb. *δυναστείασ* L 21 *τούτων*] *τούτους* Eus. cod. G *οὐδ' ὅτι οὖν* L

τις εἴποι βιασάμενος τὸν λόγον Θεοκρατίαν ἀπέδειξε τὸ πολίτευμα
166 Θεῷ τὴν ἀρχὴν καὶ τὸ κράτος ἀναθείς. καὶ πείσας εἰς ἐκεῖνον
ἅπαντας ἀφορᾶν ὡς αἴτιον μὲν ἁπάντων ὄντα τῶν ἀγαθῶν, ἃ
κοινῇ τε πᾶσιν ἀνθρώποις ὑπάρχει καὶ ὅσων ἔτυχον αὐτοὶ δεηθέν-
τες ἐν ἀμηχάνοις, λαθεῖν δὲ τὴν ἐκείνου γνώμην οὐκ ἐνὸν οὔτε τῶν
167 πραττομένων οὐδὲν οὐθ' ὧν ἄν τις παρ' αὐτῷ διανοηθῇ, ἕνα αὐ-
τὸν ἀπέφηνε καὶ ἀγένητον καὶ πρὸς τὸν ἀίδιον χρόνον ἀναλλοίωτον
πάσης ἰδέας θνητῆς κάλλει διαφέροντα καὶ δυνάμει μὲν ἡμῖν γνώ-
168 ριμον, ὁποῖος δὲ κατ' οὐσίαν [ἐστὶν] ἄγνωστον. ταῦτα περὶ Θεοῦ
φρονεῖν οἱ σοφώτατοι παρ' Ἕλλησιν ὅτι μὲν ἐδιδάχθησαν ἐκείνου
τὰς ἀρχὰς παρασχόντος, ἐῶ νῦν λέγειν, ὅτι δ' ἐστὶ καλὰ καὶ πρέ-
ποντα τῇ τοῦ Θεοῦ φύσει καὶ μεγαλειότητι, σφόδρα μεμαρτυρήκασι· καὶ γὰρ Πυθαγόρας καὶ Ἀναξαγόρας καὶ Πλάτων οἵ τε μετ'
ἐκεῖνον ἀπὸ τῆς στοᾶς φιλόσοφοι καὶ μικροῦ δεῖν ἅπαντες οὕτως
169 φαίνονται περὶ τῆς τοῦ Θεοῦ φύσεως πεφρονηκότες. ἀλλ' οἱ μὲν
πρὸς ὀλίγους φιλοσοφοῦντες εἰς πλήθη δόξαις προκατειλημμένα

LLatEusebius praep. euang. VIII 8. 3

1 *ἀπέδειξε*] Euseb. *ἀπεῖπεν* L *declarauit* Lat 2 *Θεῷ*] *Θεῶ δὲ μᾶλλον μόνῳ* L *deo principaliter* Lat *ἀναθεὶς*] *excellenter adsignans* Lat 3 *ὡς* — 4 *ὑπάρχει*] *tamquam causam bonorum omnium uniuersis hominibus existentem* Lat *ἃ*] Euseb., om. LLat 4 *ἰδίᾳ τε ἑκάστοις* ante *ὑπάρχει* add. Vigerus *ὑπάρχει — δεηθέντες*] Eus. *παρέχειν τὰ ἴδια. καὶ οὐ μόνον τοῦτο. ἀλλὰ καὶ ὧν ἀπηγόρευσαν· μόνον δὲ καὶ τοῦτο δοκεῖν ἐδίδαξαν· εἶναι μὲν θεὸν μονάρχην μετ' αὐτὸν δὲ θεῶν τινὰς μυθολογίας ἀνεπλάσαντο· τὸ εἶναι αὐτοὶ δεηθέντες* L 5 *ἀμηχάνοις*] Eus. *ἀμηχανίᾳ* L *angustiis* Lat *δὲ*] Euseb., om. LLat *οὐκ ἐνὸν οὔτε*] Euseb. *οὐκηδυνήθησαν ἀλλ' οὔτε* L *τῶν*] *τι τῶν* Eus 6 *οὐδὲν*] Euseb. *οὐθὲν* L *ὧν*] Euseb. *ὡσ* L *αὐτῷ*] Euseb. *ἑαυτῷ* L *semetipsum* Lat *διανοηθείη* Euseb. *ἕνα*] *ἕνα γοῦν* LLat *ἀλλ'* Euseb. *ἕνα αὐτὸν ἀπέφηνε*] *unum uero eum esse monstrauit* Lat *αὐτὸν* — 7 *ἀναλλοίωτον*] Eus. *αὐτὸν ἀπέφηνεν ὁ ἡμέτερος νόμος· ἀπρόσιτον· ἀγέννητον· ἀίδιον· ἄχρονον· ἀναλλοίωτον·* L 7 *ἀγέννητον* L *ἀγέννητον* Eus. cod. J *ἀίδιον* post *ἀναλλοίωτον* tr. Lat recte ut uid., nisi spurium est 8 *μὲν*] *μὲν μόνον* L 9 *ἐστὶν*] Eus., om. L 10 *παρ'*] *παρὰ τοῖσ* L Eus. cod. J *παρ' Ἕλλησιν ὅτι*] *παρὰ τοῖσ Ἕλλησι μονάρχην ὡσ ἐν παραδρομῇ ἀφιέντεσ· εἰ γὰρ θεὸσ, οὐ θεοί· εἰ δεῖ λέγειν τῇ ἀνάρχῳ φύσει τὰ καλά τε καὶ ἄτρεπτα καὶ ὡσ ἀληθῶσ πρέποντα τῇ μεγαλειότητι τοῦ θεοῦ· καὶ ὅτι* L 11 *δέ ἐστι* (*δέ* om. cod. B) Eus. 12 *σφόδρα*] *οὐ σφόδρα* Eus. cod. G 13 *γὰρ* spurium uid., nisi infra u. 14 *καὶ* eicere mauis *καὶ* (ante *Ἀναξ.*) om. Eus. cod. G *οἵ τε*] Eus. *καὶ οἱ* L 14 *ἐκεῖνον*] Eus. *ἐκείνουσ* LLat *ἐκείνων* Eus. cod. B *καὶ*] *οἵ καὶ* coni. *οὕτω* Eus. 16 *ὀλίγους*] Eus. *ὀλίγον* LLat *πλήθη*] Eus. *πλῆθοσ* L *προκατειλημμένα*] Hudson *προκατειλημμένοι* L *κατειλημμένα* (*προκατειλημμένα* ut uid. B *κατειλεγμένα* J) Euseb. *conscriptam (ueritatem)* Lat

τὴν ἀλήθειαν τοῦ δόγματος ἐξενεγκεῖν οὐκ ἐτόλμησαν, ὁ δὲ ἡμέτερος νομοθέτης ἅτε δὴ τὰ ἔργα παρέχων σύμφωνα τοῖς λόγοις οὐ μόνον τοὺς καθ' αὑτὸν ἔπεισεν, ἀλλὰ καὶ τοῖς ἐξ ἐκείνων ἀεὶ γενησομένοις τὴν περὶ θεοῦ πίστιν ἐνέφυσεν ἀμετακίνητον. αἴτιον 170
δ' ὅτι καὶ τῷ τρόπῳ τῆς νομοθεσίας πρὸς τὸ χρήσιμον πάντων ἀεὶ πολὺ διήνεγκεν· οὐ γὰρ μέρος ἀρετῆς ἐποίησεν τὴν εὐσέβειαν, ἀλλὰ ταύτης μέρη τἆλλα, λέγω δὲ τὴν δικαιοσύνην τὴν σωφροσύνην τὴν καρτερίαν τὴν τῶν πολιτῶν πρὸς ἀλλήλους ἐν ἅπασι συμφωνίαν· ἅπασαι γὰρ αἱ πράξεις καὶ διατριβαὶ καὶ λόγοι πάντες ἐπὶ 171
τὴν πρὸς θεὸν ἡμῖν εὐσέβειαν ἀναφέρουσιν· οὐδὲν γὰρ τούτων ἀνεξέταστον οὐδὲ ἀόριστον παρέλιπεν. δύο μὲν γάρ εἰσιν ἁπάσης παιδείας τρόποι καὶ τῆς περὶ τὰ ἤθη κατασκευῆς, ὧν ὁ μὲν λόγῳ διδασκαλικός, ὁ δὲ διὰ τῆς ἀσκήσεως τῶν ἠθῶν. οἱ μὲν οὖν ἄλλοι 172
νομοθέται ταῖς γνώμαις διέστησαν καὶ τὸν ἕτερον αὐτῶν ὃν ἔδοξεν ἑκάστοις ἑλόμενοι τὸν ἕτερον παρέλιπον, οἷον Λακεδαιμόνιοι μὲν καὶ Κρῆτες ἔθεσιν ἐπαίδευον, οὐ λόγοις, Ἀθηναῖοι δὲ καὶ σχεδὸν οἱ ἄλλοι πάντες Ἕλληνες ἃ μὲν χρὴ πράττειν ἢ μὴ προσέταττον διὰ τῶν νόμων, τοῦ δὲ πρὸς αὐτὰ διὰ τῶν ἔργων ἐθίζειν ὠλιγώρουν.

17. Ὁ δ' ἡμέτερος νομοθέτης ἄμφω ταῦτα συνήρμοσεν κατὰ 173
πολλὴν ἐπιμέλειαν· οὔτε γὰρ κωφὴν ἀπέλιπε τὴν τῶν ἠθῶν ἄσκη-

LLat Eusebius praep. euang. VIII 8, 6; Cosmas Indicopl. XII p. 343 A.

1 *δ'* Eus 2 *σύμφωνα τοῖς λόγοις*] LLat *τοῖς νόμοις σύμφωνα* Eus 3 *καθ' ἑαυτὸν* Eus 4 *τὴν περὶ θεοῦ πίστιν*] *hoc* Lat *θεοῦ*] *τοῦ θεοῦ* Eus. codd. GJ *ἐνέφυσεν*] *ἐνέφυεν* L *inspirauit* Lat 6 *ἀεὶ*] om. Eus., fort. ante uel post *χρήσιμον* collocandum *ἀρετῆς*] *τῆσ ἀρετῆσ* L 7 *μέρη*] *τὰ μέρη* L et ut uid. Eus. cod. B *τἆλλα*] *τἆλλα συνεῖδε καὶ κατέστησε* L *alias esse perspexit atque constituit* Lat *τε ἄλλα καὶ συνεῖδεν αὐτὰ καὶ κατέστησε* Eus. cod. J *τὴν καρτερίαν τὴν σωφροσύνην* tr. L *τὴν σωφροσύνην* om. Lat 8 *τὴν καρτερίαν* om. Eus. cod. B teste Gaisford *ἐν* om. Eus. cod. G 10 *θεὸν*] *τὸν θεὸν* Eus. *ἡμῖν*] *ἡμῶν* Eus. cod. G *ἀναφέρουσιν*] *ἔχουσι τὴν ἀναφορὰν* L et Eus. cod. J *referuntur per omnia* Lat *οὐδὲν γὰρ τούτων*] *non enim hoc* Lat

11 *οὐδ'* Eus. cod. G 12 *ἤθη*] *ἔθη* Hudson Eus. codd. BJ 13 *διδασκαλικός*] *διδάσκαλος* L *doctor* Lat *ὁ δὲ*] *ἕτερος δὲ ὁ* L *ἕτερος δὲ* Eus. cod. J *alter uero* Lat *τῆς*] *πάσης* L *ἠθῶν*] *ἐθῶν* Hudson et Eus. cod. J 14 *ἔδοξεν ἑκάστοις*] *ἔδοξαν ἕκαστοι* L 15 *ἕτερον*] *ἄλλον* L *alterum* Lat *παρέλιπον*] L Eus. cod. J *ἔλιπον* Eus. codd. BG *Λακεδαιμόνιοι*] incip. Cosmas ad § 155 (p. 74, 7) adiungens *μὲν*] *μὲν γὰρ* Cosmas 17 *οἱ ἄλλοι* om. Eus. cod. B *ἄλλοι* om. Eus. cod. G *μὲν*] LLat Eus. cod. J Cosmas, om. Eus. codd. BG *ἢ μὴ* om. Cosmas *προσέταττον* Cosmas Eus. codd. BG 18 *διὰ τὸν νόμον* Cosmas *νόμων*] *λόγων* coni. *ὠλιγώρουν*] *ὠλιγώρησαν* L Eus. cod. J et Cosmas, qui hic fin. 21 *ἐθῶν* Hudson et Eus. cod. J

σιν οὔτε τὸν ἐκ τοῦ νόμου λόγον ἄπρακτον εἴασεν, ἀλλ' εὐθὺς ἀπὸ τῆς πρώτης ἀρξάμενος τροφῆς καὶ τῆς κατὰ τὸν οἶκον ἑκάστων διαίτης οὐδὲν οὐδὲ τῶν βραχυτάτων αὐτεξούσιον ἐπὶ ταῖς βουλήσεσι
174 τῶν χρησομένων κατέλιπεν, ἀλλὰ καὶ περὶ σιτίων, ὅσων ἀπέχεσθαι χρὴ καὶ τίνα προσφέρεσθαι, καὶ περὶ τῶν κοινωνησόντων τῆς διαίτης ἔργων τε συντονίας καὶ τοὔμπαλιν ἀναπαύσεως ὅρον ἔθηκεν αὐτὸς καὶ κανόνα τὸν νόμον, ἵν' ὥσπερ ὑπὸ πατρὶ τούτῳ καὶ δεσπότῃ ζῶντες μήτε βουλόμενοι μηθὲν μήθ' ὑπ' ἀγνοίας ἁμαρτάνω-
175 μεν. οὐδὲ γὰρ τὴν ἀπὸ τῆς ἀγνοίας ὑποτίμησιν κατέλιπεν, ἀλλὰ καὶ κάλλιστον καὶ ἀναγκαιότατον ἀπέδειξε παίδευμα τὸν νόμον, οὐκ εἰσάπαξ ἀκροασομένοις οὐδὲ δὶς ἢ πολλάκις, ἀλλ' ἑκάστης ἑβδομάδος τῶν ἄλλων ἔργων ἀφεμένους ἐπὶ τὴν ἀκρόασιν ἐκέλευσε τοῦ νόμου συλλέγεσθαι καὶ τοῦτον ἀκριβῶς ἐκμανθάνειν· ὃ δὴ πάντες ἐοίκασιν οἱ νομοθέται παραλιπεῖν.

176 18. Καὶ τοσοῦτον οἱ πλεῖστοι τῶν ἀνθρώπων ἀπέχουσι τοῦ κατὰ τοὺς οἰκείους νόμους ζῆν, ὥστε σχεδὸν αὐτοὺς οὐδ' ἴσασιν, ἀλλ' ὅταν ἐξαμάρτωσιν, τότε παρ' ἄλλων μανθάνουσιν, ὅτι τὸν
177 νόμον παραβεβήκασιν, οἵ τε τὰς μεγίστας καὶ κυριωτάτας παρ' αὐτοῖς ἀρχὰς διοικοῦντες ὁμολογοῦσι τὴν ἄγνοιαν· ἐπιστάτας γὰρ παρακαθίστανται τῆς τῶν πραγμάτων οἰκονομίας τοὺς ἐμπειρίαν
178 ἔχειν τῶν νόμων ὑπισχνουμένους. ἡμῶν δὲ ὁντινοῦν τις ἔροιτο τοὺς νόμους ῥᾷον ἂν εἴποι πάντας ἢ τοὔνομα τὸ ἑαυτοῦ. τοιγαροῦν ἀπὸ τῆς πρώτης εὐθὺς αἰσθήσεως αὐτοὺς ἐκμανθάνοντες ἔχο-

---

LLat Eusebius praep. euang VIII 8. 10.

1 *τὸν, ὃν* in ras. maiore L *νόμου λόγον*] *λόγου νόμον* LLat 2 *τῆς πρώτης*] *πρώτης* L et Eus. cod. J *τῆς κατὰ τὸν οἶκον*] *conueniente* Lat *τὸν οἶκον*] *τῶν οἴκων* Eus. cod. BG *τὸν οἰκεῖον* L *τὸ οἰκεῖον* ed. pr. *ἑκάστω* LLat *ἑκάστου* coni. 3 *οὐδὲ*] *οὔτε* L *βραχυτάτων*] *minimarum escarum* Lat 4 *χρησαμένων* L *ὅσων*] *quibus* Lat *ὧν* coni. 5 *προφέρεσθαι* L *τῶν*] *τίνων* L *κοινωνησάντων* Eus 6 *συντονίας*] *εὐτόνους τέχνας* et i. marg. *γρ συντονίας* L *εὐτονίας περὶ τὰς τέχνας* ed. pr. 7 *αὐτὸς*] om. Lat *αὐτοῖς* coni. 9 *οὐδὲ*] *οὐ* Eus. cod. J *ἀπὸ*] *ὑπὸ* Eus *ὑποτίμησιν*] Eus. cod. J *ἐπιτίμησιν* L Eus. cod. BG *poenam* Lat *κατέλιπεν*] *ἠνέσχετο καταλιπεῖν* L *posuit* Lat 10 *παίδευμα*] *παιδευμάτων* L 11 *quapropter* ante *οὐκ* add. Lat *εἰσάπαξ* L *ἀκροασομένοις*] Eus. cod. J *ἀκροασαμένους* L *ἀκροασαμένοις* Eus. cod. BG 13 *τοῦ νόμου ἐκέλευσε* tr. L *uniuersos* post *συλλέγεσθαι* add. Lat 14 *οἱ νομοθέται ἐοίκασι* tr. L 16 *ζῆν νόμους* tr. L et Eus. cod. J fort. recte 17 *ἐξαμαρτάνωσι* Eus 18 *καὶ κυριωτάτας* om. Eus. codd. BG *παρ' αὐτοῖς* om. LLat 21 *δ'* Eus *ὅντιν' οὖν* L *τις*] Eus. et ut uid. Lat *εἴ τισ* L *ἔροιτο*] *ἕλοιτο* Eus 22 *ἂν*] *ἄν τις* Eus 23 *εὐθὺς* post *αὐτοὺς* tr. Eus. cod. G

μεν ἐν ταῖς ψυχαῖς ὥσπερ ἐγκεχαραγμένους, καὶ σπάνιος μὲν ὁ παραβαίνων, ἀδύνατος δ' ἡ τῆς κολάσεως παραίτησις.

19. Τοῦτο πρῶτον ἁπάντων τὴν θαυμαστὴν ὁμόνοιαν ἡμῖν 179
ἐμπεποίηκεν· τὸ γὰρ μίαν μὲν ἔχειν καὶ τὴν αὐτὴν δόξαν περὶ
θεοῦ, τῷ βίῳ δὲ καὶ τοῖς ἔθεσι μηδὲν ἀλλήλων διαφέρειν, καλλί-
στην ἐν ἤθεσιν ἀνθρώπων συμφωνίαν ἀποτελεῖ. παρ' ἡμῖν γὰρ 180
μόνοις οὔτε περὶ θεοῦ λόγους ἀκούσεταί τις ἀλλήλοις ὑπεναντίους,
ὁποῖα πολλὰ παρ' ἑτέροις οὐχ ὑπὸ τῶν τυχόντων μόνον κατὰ τὸ
προσπεσὸν ἑκάστῳ λέγεται πάθος, ἀλλὰ καὶ παρά τισι τῶν φιλο-
σόφων ἀποτετόλμηται, τῶν μὲν τὴν ὅλην τοῦ θεοῦ φύσιν ἀναιρεῖν
τοῖς λόγοις ἐπικεχειρηκότων, ἄλλων δὲ τὴν ὑπὲρ ἀνθρώπων αὐτὸν
πρόνοιαν ἀφαιρουμένων· οὔτ' ἐν τοῖς ἐπιτηδεύμασι τῶν βίων ὄψε- 181
ται διαφοράν, ἀλλὰ κοινὰ μὲν ἔργα πάντων παρ' ἡμῖν, εἷς δὲ λόγος
ὁ τῷ νόμῳ συμφωνῶν περὶ θεοῦ πάντα λέγων ἐκεῖνον ἐφορᾶν.
καὶ μὴν περὶ τῶν κατὰ τὸν βίον ἐπιτηδευμάτων, ὅτι δεῖ πάντα
τἆλλα τέλος ἔχειν τὴν εὐσέβειαν, καὶ γυναικῶν ἀκούσειεν ἄν τις
καὶ τῶν οἰκετῶν.

20. Ὅθεν δὴ καὶ τὸ προφερόμενον ἡμῖν ὑπό τινων ἔγκλημα, 182
τὸ δὴ μὴ καινῶν εὑρετὰς ἔργων ἢ λόγων ἄνδρας παρασχεῖν, ἐντεῦ-
θεν συμβέβηκεν· οἱ μὲν γὰρ ἄλλοι τὸ μηδενὶ τῶν πατρίων ἐμμέ-
νειν καλὸν εἶναι νομίζουσι καὶ τοῖς τολμῶσι ταῦτα παραβαίνειν
μάλιστα σοφίας δεινότητα μαρτυροῦσιν, ἡμεῖς δὲ τοὐναντίον μίαν 183
εἶναι καὶ φρόνησιν καὶ ἀρετὴν ὑπειλήφαμεν τὸ μηδὲν ὅλως ὑπε-

LLat Eusebius praep. euang. VIII 8. 13

1 ὥσπερ] Eus. Lat, om. L 2 παραβαίνων] παρ' ἑβραίων Eus. cod. G 5 τοῖσ ἤθεσι L 6 ἐν ἤθεσιν] ἐν ἔθεσιν Eus. cod. J et ex corr. G *moribus* Lat, mihi suspectum ἀποτελεῖ] ἐπιτελεῖ L 7 θεοῦ] τοῦ θεοῦ L τις] τοὺς (τοὺς μὴ cod. G man. 1) Eus 8 οὐχ] οὐδ' L οὐχ — 10 ἀποτετόλμηται] *cum non solum a fortuitis quod uisum fuerit unicuique profertur, sed etiam apud quosdam philosophorum hoc crebro praesumitur* Lat μόνον] μόνων L γὰρ μόνον Vigerus κατὰ] τὸ κατὰ Eus. codd. BG 9 καὶ] κἂν Eus. cod. G 10 ἀποτετόλμηται] αὐτῶν τετόλμηται L 11 αὐτὸν] αὐτοῦ ed. pr. et fort. Lat πρόνοιαν αὐτὸν tr. Eus. cod. J 12 οὔτ'] οὐδ' Eus τῶν] δὲ τῶν Eus. cod. J 13 εἷς — 14 θεοῦ] *unus uero de deo sermo concors est* Lat δὲ] δ' ὁ Eus 14 ὁ τῷ νόμῳ συμφωνῶν] ὁμοῦ σύμφωνοσ L 15 *et* ante ὅτι add. Lat 16 τὰ ἄλλα Eus γυναικῶν] *mulieribus nostris* Lat 18 προσφερόμενον Eus. cod. G *illatas* Lat ἔγκλημα τὸ δὴ] ἐγκλήματοσ ἢ L ἔγκλημα τὸ ἢ ed. pr. 19 τὸ δὴ μὴ — παρασχεῖν] *cur non exhibeamus* Lat καινῶν] κενῶν L ἄνδρας] ἀνδρείασ L 21 καὶ τοῖς — 22 μαρτυροῦσιν] *et praecipue transgressoribus sapientiae robur adsignant* Lat τολμῶσι ταῦτα παραβαίνειν μάλιστα] Eus. cod. G et ut uid. Lat μάλιστα τολμῶσι ταῦτα παραβαίνειν L Eus. cod. J

ναντίον μήτε πρᾶξαι μήτε διανοηθῆναι τοῖς ἐξ ἀρχῆς νομοθετηθεῖσιν. ὅπερ εἰκότως ἂν εἴη τεκμήριον τοῦ κάλλιστα τὸν νόμον τεθῆναι· τὰ γὰρ μὴ τοῦτον ἔχοντα τὸν τρόπον αἱ πεῖραι δεόμενα διορθώσεως ἐλέγχουσιν.

184 21. *Ἡμῖν δὲ τοῖς πεισθεῖσιν ἐξ ἀρχῆς τεθῆναι τὸν νόμον κατὰ θεοῦ βούλησιν οὐδ' εὐσεβὲς ἦν τοῦτον μὴ φυλάττειν· τί γὰρ αὐτοῦ τις ἂν μετακινήσειεν ἢ τί κάλλιον ἐξεῦρεν ἢ τί παρ' ἑτέρων ὡς ἄμεινον μετήνεγκεν; ἆρά γε τὴν ὅλην κατάστασιν τοῦ πολιτεύ-*
185 *ματος; καὶ τίς ἂν καλλίων ἢ δικαιοτέρα γένοιτο τῆς θεὸν μὲν ἡγεμόνα τῶν ὅλων πεποιημένης, τοῖς ἱερεῦσι δὲ κοινῇ μὲν τὰ μέγιστα διοικεῖν ἐπιτρεπούσης, τῷ δὲ πάντων ἀρχιερεῖ πάλιν αὖ πεπιστευ-*
186 *κυίας τὴν τῶν ἄλλων ἱερέων ἡγεμονίαν; οὓς οὐ κατὰ πλοῦτον οὐδέ τισιν ἄλλαις προύχοντας αὐτομάτοις πλεονεξίαις τὸ πρῶτον εὐθὺς ὁ νομοθέτης ἐπὶ τὴν τιμὴν ἔταξεν, ἀλλ' ὅσοι τῶν μετ' αὐτοῦ πειθοῖ τε καὶ σωφροσύνῃ τῶν ἄλλων διέφερον, τούτοις τὴν περὶ τὸν*
187 *θεὸν μάλιστα θεραπείαν ἐνεχείρισεν. τοῦτο δ' ἦν καὶ τοῦ νόμου καὶ τῶν ἄλλων ἐπιτηδευμάτων ἀκριβὴς ἐπιμέλεια· καὶ γὰρ ἐπόπται πάντων καὶ δικασταὶ τῶν ἀμφισβητουμένων καὶ κολασταὶ τῶν κατεγνωσμένων οἱ ἱερεῖς ἐτάχθησαν.*

188 22. *Τίς ἂν οὖν ἀρχὴ γένοιτο ταύτης ὁσιωτέρα; τίς δὲ τιμὴ θεῷ μᾶλλον ἁρμόζουσα, παντὸς μὲν τοῦ πλήθους κατεσκευασμένου πρὸς τὴν εὐσέβειαν, ἐξαίρετον δὲ τὴν ἐπιμέλειαν τῶν ἱερέων πεπιστευμένων, ὥσπερ δὲ τελετῆς τινος τῆς ὅλης πολιτείας οἰκονο-*
189 *μουμένης; ἃ γὰρ ὀλίγων ἡμερῶν ἀριθμὸν ἐπιτηδεύοντες ἄλλοι φυ-*

LLat Eusebius praep. euang. VIII 8. 17

1 *νομοτεθήσασιν* L 2 *τεθῆναι τὸν νόμον* tr. L et Eus. cod. J 3 *δεόμενα*] ed. pr. et ut uid. Lat *δεόμεναι* Eus. *δεχόμεναι* L 6 *οὐδ — φυλάττειν*] *nihil aliud pium est quam hanc sub integritate reseruare* Lat ἦν] ἦν ἔτι L et Eus. cod. J *τοῦτο* L *μὴ* om. L 7 *μετεκίνησεν* Eus. cod. J *ἐξεύροι* ed. pr. 8 *μετήνεγκεν*] *ἐξήνεγκεν* L *migrauit* Lat *ἐξενέγκοι* ed. pr. 9 *ἂν καλλίων*] *ἦν κάλλιον* L *ἢ καλλίων* ed. pr. *ἂν ἢ καλλίων* coni. *γένοιτο*] *γένηται* Eus. codd. BG *τῆς θεὸν*] *τῆς τοῦ θεὸν* Eus. cod. J *τῆς τοῦ θεοῦ* Eus. codd. BG 10 *ἡγεῖσθαι* ante *πεποιημένης* add. Eus 11 *αὖ* om. Eus 12 *οἷς* Eus. cod. G *κατὰ πλοῦτον*] L Eus. cod. J *πλούτῳ* Eus. cod. G 13 *ἄλλαισ, αι* ex *οι* corr. L *αὐτομάτοις* om. Eus. cod. G *πλεονεξιασ | αισ* (*ασ* deletum) L *τὸ* om. L *τὸ πρῶτον εὐθὺς* om. Lat 14 *ὁ νομοθέτης*] *νομοθετῆσαι* Eus *ἐπὶ τῆς τιμῆς* coni. 15 *τῶν ἄλλων* om. Eus. cod. G 16 *μάλιστα* om. Eus. cod. G *ἐνεχείρησεν* L *τοῦτο*] *τούτου* L *apud hos* Lat *τούτοις* ed. pr. 18 *καὶ κολασταὶ — 19 κατεγνωσμένων* om. Eus. cod. G 20 *τίς — ἀρχὴ*] *quis ergo principatus quod regnum* Lat *θεῷ τιμὴ* tr. L 21 *ἁρμόσουσα* L 23 *τελετῆς τινος*] *τελετή ἐστι* Eus 24 *ὀλίγω* Eus. cod. J *ἄλλοι*] *ἀλλόφυλοι* L *alienigenae* Lat

λάττειν οὐ δύνανται μυστήρια καὶ τελετὰς ἐπονομάζοντες, ταῦτα
μεθ᾽ ἡδονῆς καὶ γνώμης ἀμεταθέτου φυλάττομεν ἡμεῖς δι᾽ αἰῶνος.
τίνες οὖν εἰσιν αἱ προρρήσεις καὶ ἀπαγορεύσεις; ἁπλαῖ τε καὶ γνώ- 190
ριμοι. πρώτη δ᾽ ἡγεῖται ἡ περὶ θεοῦ λέγουσα, ὁ θεὸς ἔχει τὰ
σύμπαντα παντελὴς καὶ μακάριος, αὐτὸς αὑτῷ καὶ πᾶσιν αὐτάρκης,
ἀρχὴ καὶ μέσα καὶ τέλος οὗτος τῶν πάντων, ἔργοις μὲν καὶ χάρισιν
ἐναργὴς καὶ παντὸς οὕτινος φανερώτερος, μορφὴν δὲ καὶ μέγεθος
ἡμῖν ἄφατος· πᾶσα μὲν ὕλη πρὸς εἰκόνα τὴν τούτου κἂν ᾖ πολυ- 191
τελὴς ἄτιμος, πᾶσα δὲ τέχνη πρὸς μιμήσεως ἐπίνοιαν ἄτεχνος.
οὐδὲν ὅμοιον οὔτ᾽ εἴδομεν οὔτ᾽ ἐπινοοῦμεν οὔτ᾽ εἰκάζειν ἐστὶν ὅσιον.
ἔργα βλέπομεν αὐτοῦ φῶς οὐρανὸν γῆν ἥλιον ὕδατα ζῴων γενέσεις 192
καρπῶν ἀναδόσεις. ταῦτα θεὸς ἐποίησεν οὐ χερσὶν οὐ πόνοις οὔ
τινων συνεργασομένων ἐπιδεηθείς, ἀλλ᾽ αὐτοῦ θελήσαντος καλῶς ἦν
εὐθὺς γεγονότα. τοῦτον θεραπευτέον ἀσκοῦντας ἀρετήν· τρόπος
γὰρ θεοῦ θεραπείας οὗτος ὁσιώτατος.

23. Εἷς ναὸς ἑνὸς θεοῦ, φίλον γὰρ ἀεὶ παντὶ τὸ ὅμοιον, κοι- 193
νὸς ἁπάντων κοινοῦ θεοῦ ἁπάντων. τοῦτον θεραπεύσουσιν μὲν
διὰ παντὸς οἱ ἱερεῖς, ἡγήσεται δὲ τούτων ὁ πρῶτος ἀεὶ κατὰ γένος.
οὗτος μετὰ τῶν συνιερέων θύσει τῷ θεῷ, φυλάξει τοὺς νόμους, 194

LLat Eusebius praep. euang. VIII 8, 23.

1 ταῦτα] Eus. Lat, om. L 2 μεθ᾽ ἡδονῆς] Eus. codd. BG μετὰ πολλῆσ ἡδονῆσ LLat Eus. cod. J ἀμεταθέτου] ἀμεταπίστου L ἀμεταπείστου ed. pr. *inconuertibili* Lat δι᾽ αἰῶνος] διὰ τοῦ παντὸσ αἰῶνοσ L et Eus. cod. J *per omne aeuum* Lat 3 τίνος Eus. codd. BG προσρήσεισ L προαγορεύσεις Eus 4 δ᾽ ἡγεῖται] δὴ γίνεται L *est* Lat ἡ om. L ὁ] om. Eus. ὅτι coni. 5 σύμπαντα] ξύμπαντα Eus. cod. G πάντα L *omnia* Lat ἑαυτῷ Eus 6 μέση Eus. cod. G οὗτος τῶν πάντων] οὗτος τῶν ἁπάντων Eus. cod. J πάντων οὗτος Eus. codd. BG 7 ἐναργὴς] ἐνεργῆσαι L *clarus* Lat οὐτινοσοῦν Eus. codd. BG δὲ] τε L, om. Eus. cod. B 8 ἄφατος] ἀφανέστατοσ Eus *inenarrabilis* Lat μὲν] μὲν γὰρ L *namque* Lat κἂν ᾖ — 9 πᾶσα δὲ] ἀλλότριοσ κἂν ἡ πολυτελὴσ ἄτιμόσ ἐστι πρὸσ τὴν ἐκείνου δόξαν καὶ πᾶσα L 10 οὐδὲν] ᾧ οὐδὲν uel οὐδὲν γὰρ coni. ἴδομεν L 11 ἥλιον ὕδατα] Eus. codd. BG ἥλιον καὶ σελήνην ποταμοὺσ καὶ θάλασσαν (θάλατταν cod. J) LLat Eus. cod. J 12 οὐδὲ πόνοις οὐδέ τινῶν LLat et Eus. cod. J 13 συνεργασομένων] coni. συνεργασαμένων L Eus θελήσαντος] καλὰ θελήσαντοσ LLat Eus. cod. J καλῶς — 14 γεγονότα] καθωσ ἐβουλήθη εὐθὺσ ἐγένοντο (ον i. ras.) L 13 εὐθὺς ἦν tr. Eus. cod. J 14 τοῦτον θεραπευτέον] τούτω δεῖ πάντασ ἀκολουθεῖν καὶ θεραπεύειν αὐτὸν L et Eus. cod. J *hunc homines conuenit uniuersos sequi eumque placare* Lat 17 ὁ κόσμοσ post ἁπάντων add. L θεραπεύσουσιν] coni. θεραπεύουσιν LLat Eus 18 ἡγεῖται Eus *praecedit* Lat 19 μετὰ τῶν συνιερέων] μὲν πρὸ τῶν ἄλλων ἱερέων L *ante alios sacerdotes* Lat μετὰ τῶν ἱερέων Eus. cod. B μετὰ τῶν ἄλλων ἱερέων Eus. cod. J

δικάσει περὶ τῶν ἀμφισβητουμένων, κολάσει τοὺς ἐλεγχθέντας. ὁ τούτῳ μὴ πειθόμενος ὑφέξει δίκην ὡς εἰς θεὸν αὐτὸν ἀσεβῶν.
195 θύομεν τὰς θυσίας οὐκ εἰς μέθην ἑαυτοῖς, ἀβούλητον γὰρ θεῷ
196 τόδε, ἀλλ' εἰς σωφροσύνην. καὶ ἐπὶ ταῖς θυσίαις χρὴ πρῶτον ὑπὲρ τῆς κοινῆς εὔχεσθαι σωτηρίας, εἶθ' ὑπὲρ ἑαυτῶν· ἐπὶ γὰρ κοινωνίᾳ γεγόναμεν καὶ ταύτην ὁ προτιμῶν τοῦ καθ' αὑτὸν ἰδίου
197 μάλιστα θεῷ κεχαρισμένος. δέησις δ' ἔστω πρὸς τὸν θεόν, οὐχ ὅπως δῷ τἀγαθά, δέδωκεν γὰρ αὐτὸς ἑκὼν καὶ πᾶσιν εἰς μέσον κατατέθεικεν, ἀλλ' ὅπως δέχεσθαι δυνώμεθα καὶ λαβόντες φυλάτ-
198 τωμεν. ἁγνείας ἐπὶ ταῖς θυσίαις διείρηκεν ὁ νόμος ἀπὸ κήδους ἀπὸ λέχους ἀπὸ κοινωνίας τῆς πρὸς γυναῖκα καὶ πολλῶν ἄλλων. [ἃ μακρὸν ἂν εἴη γράφειν. τοιοῦτος μὲν ὁ περὶ θεοῦ καὶ τῆς ἐκείνου θεραπείας λόγος ἡμῖν ἐστιν, ὁ δ' αὐτὸς ἅμα καὶ νόμος.]
199 24. Τίνες δ' οἱ περὶ γάμων νόμοι; μῖξιν μόνην οἶδεν ὁ νόμος

LLat Eusebius praep. euang. VIII 8, 28.

1 ἐλεγχθέντας] ἐλεγχθέντασ ἐπ' ἀδίκῳ L *lege conuictos* Lat ὁ] ὁ δέ γε L 2 εἰς τὸν θεὸν Eus 3 θύομεν] θύσομεν Eus. cod. J *immolauit* Lat εἰς μέθην ἑαυτοῖς] Eus. codd. BG εἰσ πλήρωσιν ἑαυτῶν (ἑαυτοῖς cod. J) καὶ μέθην L Eus. cod. J *ad crapulam nostram uel ebrietatem* Lat ἀβούλητα L Eus. cod. J et ut uid. Lat γὰρ τῷ θεῷ Eus. codd. BG 4 τάδε L Eus. cod. J *haec* Lat ἀλλ' εἰς σωφροσύνην] Eus. codd. BG καὶ πρόφασισ ἂν ὕβρεωσ γένοιτο καὶ πολυτελείασ ἀλλὰ σώφρονασ εὐτάκτουσ εὐγενεῖσ (εὐσταλεῖς cod. J εὐτελεῖς coni.) ὅπωσ μάλιστα (μάλιστ' ἂν coni.) θύοντεσ σωφρονῶμεν (σωφρονῶσιν cod. J σωφρονοῖμεν coni.) L Eus. cod. J *quae res occasio potius iniuriarum simul et expensarum est; deus enim temperatos ordinatosque et boni generis diligit et ut praecipue sacrificantes caste uiuamus* Lat; Eusebiana recepi quamuis dubitans; nam quae L tradit genuina non esse apparet. tolerari possunt uerba καὶ πρόφασις — πολυτελείας et apud Eus. fort. exciderunt; at reliqua nihili sunt et ab eodem procusa uid. qui totum hunc locum inquinauit καὶ om. L Eus. cod. J καὶ — θυσίαις] *in sacrificiis uero* Lat καὶ om. Eus. cod. J χρὴ — 5 εὔχεσθαι] Eus. codd. BG ὑπὲρ τῆσ κοινῆσ εὔχεσθαι δεῖ (χρὴ cod. J) πρῶτον L Eus. cod. J 5 εἶθ' ὑπὲρ ἑαυτῶν] *deinde singuli pro semet ipsis* Lat, om. Eus. cod. B 6 καθ' ἑαυτὸν Eus ἰδίου] βίου LLat 7 μάλιστα] μάλιστα εἴη Eus μάλιστ' ἂν εἴη Bekker τῷ θεῷ L δέησις δ' ἔστω πρὸς τὸν θεόν] Eus. codd. BG παράκλησισ δὲ πρὸσ τὸν θεὸν ἔστω διὰ τῆσ εὐχῆσ καὶ δεήσεωσ (δέησισ cod. J) L et Eus. cod. J *supplicatio uero fit ad deum uotis ac praecibus* Lat 8 δῷ] διδῷ Eus τὰ ἀγαθὰ Eus 9 κατατέθεικεν] Eus. cod. J κατέθηκεν Eus. codd. BG κατέθεικεν L 10 ἁγνοίας Eus. cod. B διείρηκεν] *decreuit* Lat διώρικεν coni. κήδους] κοιτησ L ἀπὸ κήδους — 11 γυναῖκα] *ex omni (somno* coni.) *ex cubitu ex communione ad mulierem facta* Lat 12 ἃ μακρὸν — 13 νόμος om. Eus. codd. BG; nec necessaria sunt et fortasse molesta εἴη] εἴη νῦν Eus. cod. J 14 τίνες — νόμος] *quasdam autem nouit lex permixtionem* Lat δὲ Eus. cod. J νόμοι om. L Eus. cod. J

τὴν κατὰ φύσιν τὴν πρὸς γυναῖκα καὶ ταύτην, εἰ μέλλοι τέκνων ἕνεκα γίνεσθαι. τὴν δὲ πρὸς ἄρρενας ἀρρένων ἐστύγηκεν καὶ θάνατος τοὐπιτίμιον, εἴ τις ἐπιχειρήσειεν. γαμεῖν δὲ κελεύει μὴ προικὶ 200 προσέχοντας μηδὲ βιαίοις ἁρπαγαῖς μηδ' αὖ δόλῳ καὶ ἀπάτῃ πεί- σαντας, ἀλλὰ μνηστεύειν παρὰ τοῦ δοῦναι κυρίου καὶ κατὰ συγγέ- νειαν ἐπιτηδείου. γυνὴ χείρων, φησίν, ἀνδρὸς εἰς ἅπαντα. τοι- 201 γαροῦν ὑπακουέτω, μὴ πρὸς ὕβριν, ἀλλ' ἵν' ἄρχηται· θεὸς γὰρ ἀνδρὶ τὸ κράτος ἔδωκεν. ταύτῃ συνεῖναι δεῖ τὸν γήμαντα μόνῃ, τὸ δὲ τὴν ἄλλου πειρᾶν ἀνόσιον. εἰ δέ τις τοῦτο πράξειεν, οὐ- δεμία θανάτου παραίτησις, οὔτ' εἰ βιάσαιτο παρθένον ἑτέρῳ προ- ωμολογημένην, οὔτ' εἰ πείσειεν γεγαμημένην. τέκνα τρέφειν ἅπαντα 202 προσέταξεν, καὶ γυναιξὶν ἀπεῖπεν μήτ' ἀμβλοῦν τὸ σπαρὲν μήτε διαφθείρειν ἀλλὰ ἢν φανείη τεκνοκτόνος ἂν εἴη ψυχὴν ἀφανί- ζουσα καὶ τὸ γένος ἐλαττοῦσα. τοιγαροῦν οὐδ' εἴ τις ἐπὶ λέχους φθορὰν παρέλθοι, καθαρὸς εἶναι τότε προσήκει. καὶ μετὰ τὴν 203 νόμιμον συνουσίαν ἀνδρὸς καὶ γυναικὸς ἀπολούσασθαι· ψυχῆς γὰρ ἔχειν τοῦτο μερισμὸν πρὸς ἄλλην χώραν ὑπέλαβεν· καὶ γὰρ ἐμφυο-

---

LLat Eusebius praep. euang. VIII 8, 32.

1 *τὴν* ante *κατὰ* om. L Eus. cod. J *γυναῖκα* · L *μέλλει* Eus. cod. G 2 *γίνεσθαι*] *γεγενῆσθαι* L *γενήσεσθαι* Eus. cod. J *ἄρρενας*] *ἄρρενα* Eus. codd. BJ *ἄρρενα καὶ* Eus. cod. G 3 *τὸ ἐπιτίμιον* Eus *ἐγχειρήσειεν* L *δόλῳ καὶ* om. Eus. codd. BG *ἀπάτῃ*] *δι' ἀπάτης* Eus. cod. J *πείσαντες* Eus. cod. G 6 *ἐπιτηδείου*] *τὴν ἐπιτήδειον* L *ἐπιτήδειον* Eusebii codd. BJ *oportunam* Lat *γυνὴ* — 8 *ἔδωκεν*] mihi suspecta, similia docentur Ephes. V 22, Coloss. III 18, 1 Petr. III 1 *γυνὴ*] *γυνὴ δὲ* LLat *χεῖρον* L *φησίν* om. Eus. cod. B *ἅπαντα*] Eus. cod. J *ἀπάτην* Eus. codd. BG *τὰ πάντα καὶ ἡ πονηρία αὐτοῦ ὑπὲρ ἀγαθοποιοῦ γυναικός* L, quae sumpta esse ex Sirac. 42. 14 obseruauit Pithoeus 7 *ὕβριν*] *ὕβριν ταῦθ' ἡγουμένη* L *ἵνα* Eus. codd. BJ 8 *τὸ* om. Eus. codd. BG *μόνον* L 10 *προωμολογημένην*] coni. *προσωμολογημένην* L *συνωμολογημένην* Eus 11 *πείσαι* Eus *τέκνα* — 14 *ἐλαττοῦσα*] *ἢ τεκνοτρεφοῦσαν ἅπαντα προσέταξεν ὁ νόμος καὶ γυναιξὶν ἀπεῖπεν μήτ' ἀμφιβάλλειν ποτὲ ἓν τινι τῶν αὐτοῦ μήτε διαφθείρειν ἀλλὰ μηχανῇ τινὶ προ- σέπεσθαι αὐτῷ· τεκνοκτόνος γὰρ ἂν εἴη ψυχὴν ἀφανίζουσα καὶ τὸ γένος ἐλατ- τοῦσα* L *filios nutrire praecepit, uniuersis autem mulieribus interdixit uel celare quod satum* (*statum* codd.) *est, uel aliam machinationem corrumpere filii; nam- que mocchatrix est animam* (*anima* codd.) *demoliens et genus imminuens* Lat 14 *τοιγαροῦν* — 15 *προσήκει*] *igitur siquis ad concubitum corruptionemque transierit inmundus. oportet autem* Lat *οὐδ'* om. L *λέχους φθορὰν*] *λέχοσ ἢ φθορὰν* L 15 *τότε προσήκει*] *οὐ δύναται ἢ* L 16 *ἀπολούεσθαι* Eus *κελεύει ὁ νόμος* post *ἀπολούσασθαι* add. L *ψυχῆς* — 17 *ὑπέλαβεν*] *ψυχῆσ τε γὰρ καὶ σώματοσ ἐγγίνεται μολυσμοσ ὡσ πρὸσ ἄλλην χώραν ὑποβαλόντων* L *hoc enim partem animae polluere iudicauit* Lat *γὰρ*] ex Lat, om. Eus. 17 *ἐμφυομένη*] *inflata* Lat

μένη σώμασιν κακοπαθεῖ καὶ τούτων αὖ θανάτῳ διακριθεῖσα. διόπερ ἁγνείας ἐπὶ πᾶσι τοῖς τοιούτοις ἔταξεν.

204 25. Οὐ μὴν οὐδ' ἐπὶ ταῖς τῶν παίδων γενέσεσιν ἐπέτρεψεν εὐωχίας συντελεῖν καὶ προφάσεις ποιεῖσθαι μέθης, ἀλλὰ σώφρονα τὴν ἀρχὴν εὐθὺς τῆς τροφῆς ἔταξε. καὶ γράμματα παιδεύειν ἐκέλευσεν τὰ περὶ τοὺς νόμους καὶ τῶν προγόνων τὰς πράξεις ἐπίστασθαι, τὰς μὲν ἵνα μιμῶνται, τοῖς δ' ἵνα συντρεφόμενοι μήτε παραβαίνωσι μήτε σκῆψιν ἀγνοίας ἔχωσι.

205 26. Τῆς εἰς τοὺς τετελευτηκότας προυνόησεν ὁσίας οὐ πολυτελείαις ἐνταφίων οὐ κατασκευαῖς μνημείων ἐπιφανῶν, ἀλλὰ τὰ μὲν περὶ τὴν κηδείαν τοῖς οἰκειοτάτοις ἐπιτελεῖν, πᾶσι δὲ τοῖς παριοῦσι καὶ προσελθεῖν καὶ συναποδύρασθαι. καθαίρειν δὲ καὶ τὸν οἶκον καὶ τοὺς ἐνοικοῦντας ἀπὸ κήδους, ἵνα πλεῖστον ἀπέχῃ τοῦ δοκεῖν καθαρὸς εἶναί τις φόνον ἐργασάμενος.

206 27. Γονέων τιμὴν μετὰ τὴν πρὸς θεὸν δευτέραν ἔταξεν καὶ τὸν οὐκ ἀμειβόμενον τὰς παρ' αὐτῶν χάριτας ἀλλ' εἰς ὁτιοῦν ἐλλείποντα λευσθησόμενον παραδίδωσι. καὶ παντὸς τοῦ πρεσβυτέρου τιμὴν ἔχειν τοὺς νέους φησίν, ἐπεὶ πρεσβύτατον ὁ θεός.

LLat Euseb. praep. euang. VIII 8, 36.

1 *κακοπαθεῖ*] *κακοπαθεῖ ἡ ψυχὴ* L et Eus. cod. J *καὶ τούτων* — 2 *ἔταξεν*] *dum ob hoc fit aliqua propter purificationis causam talibus imperauit* Lat *αὖ*] Eus. cod. G *αὖ πάλιν* Eus. cod. J *αὖ πάλιν ὡσ* L *διακριθεῖσαν* L 2 *ἐπὶ πᾶσι*] *ἐπίτασιν* L *προσέταξεν* L 3 *ἐπέτρεπεν* L 4 *εὐωχίαν* Eus. *συντελεῖν*] *συνάγειν* L *aggregari* Lat 5 *τῆς τροφῆς ἔταξε* om. LLat 6 *τὰ περὶ*] *περί τε* L et Eus cod. J *propter* Lat *καὶ τὰ περὶ* coni. *ἀναστρέφεσθαι* post *νόμους* add. L 9 *προυνόησεν*] *prospexit autem* Lat *προενόησεν* Eus. cod. J *οὐ*] *οὔτε* LLat *πολυτελείασ* L 10 *οὐ*] Eus. cod. G *οὔτε* LLat *οὐδὲ* Eus. cod. J *κατασκευὰσ* L *ἐπιφανῶν* corruptum, desidero participium uerbi 11 *περὶ τῆς κηδείας* Eus. codd. BG *προσέταξεν* (*ἔταξε* cod. J *imperauit* Lat) ante *τοῖς* add. LLat Eus. cod. J 12 *παριοῦσι*] *περιοῦσι* L *uiuentibus* Lat *θαπτομένου τινὸς* (*aliquo moriente* Lat) post *παριοῦσι* add. LLat Eus. cod. J *προσελθεῖν*] *συνελθεῖν* L *concurrant* Lat *συναποδύρασθαι*] *συναποδύρεσθαι* Eus. codd. BG *συναποδύρασθαι ἐποίησε νόμιμον* (*νόμιμον ἐποίησε* tr. Eus. cod. J) LLat Eus. cod. J *καθαίρεσθαι* L *purificari* Lat *δὲ*] *δὲ κελεύει* LLat Eus. cod. J *καὶ* om. Eus. cod. J *καὶ τὸν οἶκον* om. LLat 13 *διὰ τὸν μετελθόντα τοῦ βίου* post *κήδους* add. L 14 *καθαρὸς*] *αὐτοὺσ καθαροὺσ* L *τις φόνον ἐργασάμενος*] *τίσ δε φόνον ἐργασάμενοσ ἢ ἑκὼν ἢ ἄκων· οὐδὲ τὴν πρὸσ τούτοισ ἀπεσιώπησεν ἂν ἐκδίκησιν* L 15 *πρὸς τὸν θεὸν* Eus. cod. J 17 *ἐλλείποντα*] *ἐκκλίνοντα* L *(qui) contristat* Lat *λευσθησόμενον*] *λιθασθησόμενον* L *λευσθησόμενον παραδίδωσι*] *praecipit esse lapidandum iubet* Lat *παραδίδωσι*] *παραδίδοσθαι κελεύει* L *παραδίδωσι κελεύει* Eus. cod. J *πρεσβυτερίου* L 18 *φησὶν*] om. LLat Eus. cod. J *φασὶν* Eus. cod. B *πρεσβύτατον*] *omnium senior* Lat

κρύπτειν οὐδὲν ἐᾷ πρὸς φίλους· οὐ γὰρ εἶναι φιλίαν τὴν μὴ πάντα 207
πιστεύουσαν. κἂν συμβῇ τις ἔχθρα, τἀπόρρητα λέγειν κεκώλυκε.
δικάζων εἰ δῶρα τις λάβοι, θάνατος ἡ ζημία. περιορῶν ἱκέτην
βοηθεῖν ἐνὸν ὑπεύθυνος. ὃ μὴ κατέθηκέν τις οὐκ ἀναιρήσε- 208
5 ται, τῶν ἀλλοτρίων οὐδενὸς ἅψεται, τόκον οὐ λήψεται. [ταῦτα
καὶ πολλὰ τούτοις ὅμοια τὴν πρὸς ἀλλήλους ἡμῶν συνέχει κοι-
νωνίαν]

28. Πῶς δὲ καὶ τῆς πρὸς ἀλλοφύλους ἐπιεικείας ἐφρόντισεν 209
ὁ νομοθέτης, ἄξιον ἰδεῖν, [φανεῖται γὰρ ἄριστα πάντων προνοη-
10 σάμενος] ὅπως μήτε τὰ οἰκεῖα διαφθείρωμεν μήτε φθονήσωμεν
τοῖς μετέχειν τῶν ἡμετέρων προαιρουμένοις. ὅσοι μὲν γὰρ θέλου- 210
σιν ὑπὸ τοὺς αὐτοὺς ἡμῖν νόμους ζῆν ὑπελθόντες δέχεται φιλο-
φρόνως, οὐ τῷ γένει μόνον, ἀλλὰ καὶ τῇ προαιρέσει τοῦ βίου
νομίζων εἶναι τὴν οἰκειότητα. τοὺς δ' ἐκ παρέργου προσιόντας
15 ἀναμίγνυσθαι τῇ συνηθείᾳ οὐκ ἠθέλησεν.

29. Τ̣ἆλλα δὲ προείρηκεν, ὧν ἡ μετάδοσίς ἐστιν ἀναγκαία· 211
πᾶσι παρέχειν τοῖς δεομένοις πῦρ ὕδωρ τροφήν, ὁδοὺς φράζειν,
ἄταφον μὴ περιορᾶν· ἐπιεικεῖς δὲ καὶ τὰ πρὸς τοὺς πολεμίους
κριθέντας εἶναι· οὐ γὰρ ἐᾷ τὴν γῆν αὐτῶν πυρπολεῖν οὐδὲ τέμνειν 212
20 ἥμερα δένδρα, ἀλλὰ καὶ σκυλεύειν ἀπείρηκεν τοὺς ἐν τῇ μάχῃ πε-
σόντας, καὶ τῶν αἰχμαλώτων προυνόησεν, ὅπως αὐτῶν ὕβρις ἀπῇ,

LLat Eusebius praep. euang. VIII 8, 41.

1 *φιλίαν*] *φιλίαν δεῖ* L 2 *τις*] *δέ τισ* L *τἀπόρρητα λέγειν*] coni. *τούτων* (*τούτοις* cod. G) *ἀπόρρητα λέγειν* Eus *τὸ ἀπορεῖν παραλέγειν* L *prodi tamen arcana* Lat 3 *λάβῃ* Eus. codd. BG *περιορῶν* — 4 *ὑπεύθυνος*] *περιορᾶν καὶ τοῦ βοηθεῖν ἐν οἷσ ὑπεύθυνοσ* L *despiciens quod iustum est et auxilium reis offerens* Lat *ἱκέτην*] *οἰκέτην* Eus. codd. BG 5 *οὐδενὸς*] *οὐχ* L *non* Lat *τόκον*] *δανεισασ τόκον* LLat Eus. cod. J *ταῦτα* — 7 *κοινωνίαν* om. Eus. cod. G 8 *τῆς*] Eus. cod. G *περὶ τῆς* L *πρὸς τῆς* Eus. cod. J *πρὸς*] *εἰσ τοὺσ* L *περὶ τοὺς* Eus cod. J *circa* Lat *ἐπιεικείας*] *domestica* Lat *ἐφρόντισεν*] Eus. cod. G *ἐφρόνησεν* L et Eus. cod. J *habuerit* Lat 9 *φανεῖται* — 10 *προνοησάμενος* om. Eus. cod. G 10 *ὅπως*] *dum eo ita sanciente* Lat *διαφθείρωμεν*] Eus. cod. J *διαφθείροιμεν* Eus. cod. G *διαφθεροῦμεν* L *corrumpimus* Lat *φθονήσομεν* Eus. cod. G 11 *θέλουσιν*] *ἐθέλουσιν* L *ἐὰν θέλωσιν* Eus. cod. J 12 *ὑπελθόντασ* LLat *φιλοφρόνως*] *τε φιλανθρώπως* Eus. cod. G 15 *ταῖσ συνηθείαισ* L et Eus. cod. J *sollemnitatibus* Lat 16 *τὰ ἄλλα* Eus. *ἐστὶν ἡ μετάδοσισ* tr. L Eus. cod. J *ἐστιν* om. Eus. cod. B 18 *ἐπιεικῆ* L Eus. cod. J et ut uid. Lat *ἐπιεικεῖς* — 20 *δένδρα*] *mitissime etiam circa hostes quae sunt agenda sanciuit, ut neque terra eorum exuratur neque arbores fertiles incidantur* Lat 19 *κριθέντασ εἶναι*] *εἶναι κριθέντα* L et ut uid. Lat *οὐ*] *οὐδὲ* LLat *τέμνειν*] *κόπτειν* L et Eus. cod. J *τα · · ειν* Eus. cod. B 20 *συγκεχώρηκεν* post *δένδρα* add. L Eus. cod. J *τῇ* om. L 21 *προενόησεν* Eus. cod. J

μάλιστα δὲ γυναικῶν. οὕτως δ' ἡμερότητα καὶ φιλανθρωπίαν
ἡμᾶς ἐξεπαίδευσεν, ὡς μηδὲ τῶν ἀλόγων ζῴων ὀλιγωρεῖν, ἀλλὰ
μόνην ἐφῆκε τούτων χρῆσιν τὴν νόμιμον, πᾶσαν δ' ἑτέραν ἐκώ-
λυσεν· ἃ δ' ὥσπερ ἱκετεύοντα προσφεύγει ταῖς οἰκίαις ἀπεῖ-
πεν ἀνελεῖν. οὐδὲ νεοττοῖς τοὺς γονέας αὐτῶν ἐπέτρεψε συν- 5
εξαιρεῖν,[a] φείδεσθαι δὲ κἂν τῇ πολεμίᾳ τῶν ἐργαζομένων ζῴων
καὶ μὴ φονεύειν. οὕτως πανταχόθεν τὰ πρὸς ἐπιείκειαν περιε-
σκέψατο, διδασκαλικοῖς μὲν τοῖς προειρημένοις χρησάμενος νό-
μοις, τοὺς δ' αὖ κατὰ τῶν παραβαινόντων τιμωρητικοὺς τάξας
ἄνευ προφάσεως. 10

30. Ζημία γὰρ ἐπὶ τοῖς πλείστοις τῶν παραβαινόντων ὁ θά-
νατος, ἂν μοιχεύσῃ τις, ἂν βιάσηται κόρην, ἂν ἄρρενι τολμήσῃ
πεῖραν προσφέρειν, ἂν ὑπομείνῃ παθεῖν ὁ πειρασθείς. ἔστι δὲ
καὶ ἐπὶ δούλοις ὁμοίως ὁ νόμος ἀπαραίτητος. ἀλλὰ καὶ περὶ μέ-
τρων ἴν τις κακουργήσῃ ἢ σταθμῶν ἢ περὶ πράσεως ἀδίκου καὶ 15
δόλῳ γενομένης, κἂν ὀφέληταί τις ἀλλότριον, κἂν ὃ μὴ κατέθηκεν
ἀνέληται, πάντων εἰσὶ κολάσεις οὐχ οἷαι παρ' ἑτέροις, ἀλλ' ἐπὶ
τὸ μεῖζον. περὶ μὲν γὰρ γονέων ἀδικίας ἢ τῆς εἰς θεὸν ἀσεβείας
κἂν μελλήσῃ τις, εὐθὺς ἀπόλλυται. τοῖς μέντοι γε νομίμως βιοῦσι

LLat Porphyrius de abst. IV 14, Eusebius praep. euang. VIII 8, 46.

1 δ'] Eus. cod. G δὲ πόρρωθεν L Eus. cod. J *autem olim* Lat 2 ἡμᾶς ἐξεπαίδευσεν] Eus. cod. B ἡμᾶς ἐπαίδευσεν Eus. cod. G διδάσκειν ἡμᾶσ ἐσπούδασεν L Eus. cod. J *nos — studuit edocere* Lat ὡς μηδὲ] ὡσ ὅτ' οὐδὲ L ὥστε οὐδὲ Eus. cod. J ὀλιγωρεῖν] ὠλιγώρησεν L et Eus. cod. J 3 μόνην] μόνων μὲν L μόνην μὲν Eus. cod. J ἐφῆκε] ἀφῆκε Eus *concedens* Lat νόμιμον] νενομισμένην L et Eus. cod. J πᾶσαν δ'] πᾶσιν τὴν δ' L πᾶσαν — ἐκώλυσεν] *ab omni nos alia causa prohibuit* Lat δὲ Eus. cod. J 4 ἃ — 7 φονεύειν excripsit Porphyrius ἃ] ὅσα L et ut uid. Lat δὲ Eus. cod. J ὥσπερ] ὡσ L προσφεύγει] προσφύει L *oriuntur* Lat 5 νεοττοῖς om. Lat ἐπέτρεψε] ἐπέτρεπε post νεοττοῖς positum L 6 κελεύει ante κἂν add. LLat Porphyr. κἂν τῇ πολεμίᾳ] κἂν ἢ πολέμια LLat ἐργαζομένων] συνεξεργαζομένων L συνεργαζομένων Porphyr., om. Lat 7 καὶ μὴ φονεύειν om. Lat οὕτω Eus περιεσκέψατο] *obseruauit* Lat συνεσκέψατο Eus. codd. BG 9 ἄνευ] οὐκ ἄνευ Eus. codd. BG 11 ὁ] ἐστι LLat et Eus cod. J 12 μοιχεύῃ L κόριν L ἄρσενι L 13 πεῖραν προφέρειν L ὁ om. L Eus. codd. BJ 14 περὶ τῶν μέτρων Eus. cod. B 15 ἴν] Eus. cod. G ἄν Eus. cod. B ἔν Eus. cod. J εἰ' L κακουργήσῃ] coni. κακουργήσειεν L Eus ἢ περὶ] καὶ περὶ L ἢ coni. 18 περὶ] ἐπὶ coni. μὲν om. Eus. cod. G μὲν γὰρ om. Eus. cod. B θεὸν] L Eus. cod. B ὃν Eus. cod. G τὸν θεὸν Eus. cod. J 19 μελλήσει L μέλλῃ (μέλῃ codd. BJ) Eus εὐθέωσ L γε om. L νομίμως βιοῦσι] Eus. codd. BG κατὰ τοὺσ νόμουσ πάντα πράττουσι LLat Eus. cod. J fort. rectius

γέρας ἐστὶν οὐκ ἀργυρος οὐδὲ χρυσὸς οὐ κοτίνου στέφανος ἢ σελί- 217
νου καὶ τοιαύτη τις ἀνακήρυξις, ἀλλ᾽ αὐτὸς ἕκαστος αὐτῷ τὸ συνει- 218
δὸς ἔχων μαρτυροῦν πεπίστευκεν, τοῦ μὲν νομοθέτου προφητεύσαν-
τος, τοῦ δὲ Θεοῦ τὴν πίστιν ἰσχυρὰν παρεσχηκότος, ὅτι τοῖς τοὺς
νόμους διαφυλάξασι κἂν εἰ δέοι θνήσκειν ὑπὲρ αὐτῶν προθύμως
ἀποθανεῖν ἔδωκεν ὁ Θεὸς γενέσθαι τε πάλιν καὶ βίον ἀμείνω
λαβεῖν ἐκ περιτροπῆς. ὥκνουν δ᾽ ἂν ἐγὼ ταῦτα γράφειν, εἰ μὴ 219
διὰ τῶν ἔργων ἅπασιν ἦν φανερόν, ὅτι πολλοὶ καὶ πολλάκις ἤδη
τῶν ἡμετέρων περὶ τοῦ μηδὲ ῥῆμα φθέγξασθαι παρὰ τὸν νόμον
πάντα παθεῖν γενναίως προείλοντο.

31. [Κἂν τε τι μὴ συμβεβήκει γνώριμον ἡμῶν τὸ ἔθνος 220
ἅπασιν ἀνθρώποις ὑπάρχειν κἀν φανερῷ κεῖσθαι τὴν ἐθελούσιον
ἡμῶν τοῖς νόμοις ἀκολουθίαν,] ἀλλά τις ἢ συγγράψαι λόγος αὐτοῖς 221
ἀνεγίνωσκε τοῖς Ἕλλησιν ἤ που περιτυχεῖν ἔξω τῆς γινωσκομένης
γῆς ἔφασκεν ἀνθρώποις τοιαύτην μὲν ἔχουσι δόξαν οὕτω σεμνὴν
περὶ Θεοῦ, τοιούτοις δὲ νόμοις πολὺν αἰῶνα βεβαίως ἐμμεμενηκόσι,
πάντας ἂν οἶμαι θαυμάσαι διὰ τὰς συνεχεῖς παρ᾽ αὐτοῖς μετα-
βολάς. ἀμέλει τῶν γράψαι τι παραπλήσιον εἰς πολιτείαν καὶ νό- 222

LLat Eusebius praep. euang. VIII 8, 50

1 *γέρας*] *τὸ γέρασ* L *ἀργύριον* Eus *οὐ*] *οὐ μὴν οὐδὲ* L Eus. cod. J *κοτίνου* — 2 *ἀνακήρυξις*] *ὁ διάλιθοσ στέφανοσ ἀλλὰ τὸ ὑπερβαῖνον ἅπαντα τα γήϊνα· καὶ θεοῦ ἐγγὺσ τὸ φίλον εἶναι καὶ γὰρ τοῦ θεοφιλοῦσ ἀνδρὸσ · τοιαύτη ἡ ἀνακήρυξισ* L *neque coronae capitis aut cuiusdam praedicandae festiuitatis* Lat 2 *ἀλλ᾽*] *ἀλλὰ καὶ* L *ἀλλὰ* Eus. cod. G *αὐτῷ*] *αὐτὸ* Eus. codd. BG 3 *ἔχον* Eus. cod. G *πεπίστευκεν*] *ualde proficit* Lat 4 *ἰσχυρὰν*] *ἐχυρὰν* L *firmissimam* Lat *ὅτι*] *ὅτι δὲ* Eus. cod. B *ὅτι* — 6 *Θεὸς*] *his qui seruauerunt leges licet pro eis mori contingat aliquibus concurrunt alacri ad occasum; dedit enim deus* Lat 5 *εἰ* om. Eus. cod. G, fort. recte *προθύμοις* coni. ex Lat *ἀποθανεῖν*] Eus. cod. G *ἀποθανὼν* Eus. cod. B *ἀποθανοῦσιν* L 6 *δέδωκεν* Eus. cod. G fort. recte 7 *ταῦτα*] *νῦν ταῦτα* LLat et Eus. cod. J 8 *ἦν ἅπασι* tr. L Eus. cod. J *ἤδη* om. Eus. cod. G 9 *ῥῆμα*] *ῥῆμα μόνον* LLat Eus. cod. J 10 *προείλοντο*] *ὑπέστησαν* L et Eus. cod. J *passi sunt* Lat 11 *κἂν τε* — 13 *ἀκολουθίαν* om. Eus. cod. G *κἂν τε τι*] *καίτοι γε εἰ* Eus. cod. J *κἂν τε* — 16 *ἐμμεμενηκόσι*] *uel si honorari contigit apud omnes homines nostram gentem et uoluntariam legis consequentiam esse manifestam, imbuebant graecos maiores nostri etiam extra regionem propriam constituti huiusmodi siquidem rectam (sententiam* add. ed. Bas.*) habent et tam gloriosam de deo talesque leges multo saeculo sic firmissime custodire* Lat 12 *ὑπάρχειν* Eus. cod. J 13 *ἀλλά τις* om. L *συγγράψαι*] *συγγραφὰσ* L *λόγος αὐτοῖς*] Eus. cod. G *λέγων αὐτὸσ* L Eus. cod. J 14 *ἀνεγίγνωσκε* L *που*] *που γε* L *γινωσκομένης*] *γινομένησ* L 16 *περὶ τοῦ θεοῦ* Eus *ἐμμεμενηκέναι* Eus. 17 *παρ᾽ αὐτοῖσ* L *apud nos* Lat 18 *τι* om. L *παραπλήσιον*] *παραπλεῖον* L *proxime* Lat *πολιτείασ* L

μους ἐπιχειρησάντων ὡς θαυμαστὰ συνθέντων κατηγοροῦσι, φάσκοντες αὐτοὺς λαβεῖν ἀδυνάτους ὑποθέσεις. καὶ τοὺς μὲν ἄλλους παραλείπω φιλοσόφους, ὅσοι τι τοιοῦτον ἐν τοῖς γράμμασιν ἐπραγ-
223 ματεύσαντο, Πλάτων δὲ θαυμαζόμενος παρὰ τοῖς Ἕλλησιν ὡς καὶ σεμνότητι βίου διενεγκὼν καὶ δυνάμει λόγων καὶ πειθοῖ πάντας ὑπεράρας τοὺς ἐν φιλοσοφίᾳ γεγονότας, ὑπὸ τῶν φασκόντων δεινῶν εἶναι τὰ πολιτικὰ μικροῦ δεῖν χλευαζόμενος καὶ κωμῳδούμενος
224 διατελεῖ. καίτοι τἀκείνου σκοπῶν συχνῶς τις ἂν εὕροι ῥᾷον καὶ ταῖς τῶν πολλῶν ἐγγιον συνηθείαις, αὐτὸς δὲ Πλάτων ὡμολόγηκεν, ὅτι τὴν ἀληθῆ περὶ θεοῦ δόξαν εἰς τὴν τῶν ὄχλων ἄνοιαν οὐκ ἦν
225 ἀσφαλὲς ἐξενεγκεῖν. ἀλλὰ τὰ μὲν Πλάτωνος λόγους τινὲς εἶναι κενοὺς νομίζουσι κατὰ πολλὴν ἐξουσίαν κεκαλλιγραφημένους, μάλιστα δὲ τῶν νομοθετῶν Λυκοῦργον τεθαυμάκασι καὶ τὴν Σπάρτην ἅπαντες ὑμνοῦσιν, ὅτι τοῖς ἐκείνου νόμοις ἐπὶ πλεῖστον ἐνεκαρτέ-
226 ρησαν. οὐκοῦν τοῦτο μὲν ὡμολογήσθω τεκμήριον ἀρετῆς εἶναι τὸ πείθεσθαι τοῖς νόμοις· οἱ δὲ Λακεδαιμονίους θαυμάζοντες τὸν ἐκείνων χρόνον ἀντιπαραβαλλέτωσαν τοῖς πλείοσιν ἢ δισχιλίοις
227 ἔτεσι τῆς ἡμετέρας πολιτείας, καὶ προσέτι λογιζέσθωσαν, ὅτι Λακεδαιμόνιοι ὅσον ἐφ' ἑαυτῶν χρόνον εἶχον τὴν ἐλευθερίαν ἀκριβῶς ἔδοξαν τοὺς νόμους διαφυλάττειν, ἐπεὶ μέντοι περὶ αὐτοὺς ἐγέ-
228 νοντο μεταβολαὶ τῆς τύχης, μικροῦ δεῖν ἁπάντων ἐπελάθοντο τῶν νόμων. ἡμεῖς δ' ἐν τύχαις γεγονότες μυρίαις διὰ τὰς τῶν βασι-

---

LLat Eusebius praep. euang. VIII 8, 51.

1 *θαυμαστὰ συνθέντων*] Eus. cod. G *θαυμαστὰ συντεθέντος* Eus. cod. J *θαυμαστῶν συνθετῶν* L *de incredibilibus compositionibus* Lat 2 *αὐτοῖσ* L *ἀδυνάτους*] *ἀθανάτους* Eus. cod. J 3 *γράμμασιν*] Eus. codd. BG *συγγράμμασιν* L Eus. cod. J *conscriptionibus* Lat 6 *ὑπεράρας* post *γεγονότας* tr. Eus. cod. B *ὑπὸ τῶν — 7 πολιτικὰ*] *ab his qui dicebant pessimum esse de re publica conscribere* Lat *δεινοὺσ* L 8 *τὰ ἐκείνου* L Eus. cod. B *σκοπῶν*] *σκώπτων* (*σκώπτειν* cod. G) Eus *συχνῶς — 9 συνηθείαις*] *frequenter et facile reperiet quae etiam consuetudini plurimorum proxima esse noscuntur* Lat *ῥᾷον*] *ῥᾶον ὄντα* L *ῥάονα ὄντα* ed. pr. 9 *τὰς* Eus *ἔγγιον*] *αἴτιον* L, om. Eus. cod. B *συνηθείας* Eus *ὡμολόγησεν* L *confessus est* Lat 10 *περὶ τοῦ θεοῦ* Eus. codd. GJ *περὶ θεοῦ δόξαν*] *πίστιν τοῦ θεοῦ* Eus. cod. B *εἰς*] *propter* Lat *ἄγνοιαν* LLat 11 *λόγους τινὲς*] *νόμουσ τινὰσ* L 12 *κεκαλλιγραφομένους* Eus. cod. B 13 *τεθαυμάκασι*] *τε θαυμάζουσι* LLat 14 *τοὺσ ἐκείνου νόμουσ* L *ἐκείνου*] *illorum* Lat *ἐνεκαρτέρησαν*] *perdurarunt* Lat *ἤνεγκεν* L *ἐκαρτέρησαν* Eus. cod. J *ἐνεκαρτέρησεν* Hudson 15 *μὲν*] *τε* L *ὡμολογήσθω*] Eus. cod. J *ὁμολογείσθω* L Eus. cod. G *ὡμολογείσθω* Eus. cod. B 17 *ἀντιπαραλαμβανέτωσαν* L *assumant* Lat 19 *ὅσον*] Eus. cod. G *μὲν ὅσον* LLat Eus. cod. J *ἐφ' αὐτῶν* L 20 *φυλάττειν* Eus. cod. J 21 *ἐξελάθοντο* L et Eus. cod. J 22 *δὲ* Eus *μυρίαισ γεγονότεσ* tr. L et Eus. cod. J

λευσάντων τῆς Ἀσίας μεταβολὰς οὐδ' ἐν τοῖς ἐσχάτοις τῶν δεινῶν
τοὺς νόμους προύδομεν οὐκ ἀργίας οὐδὲ τρυφῆς αὐτοὺς χάριν περι-
έποντες, ἀλλ' εἴ τις ἐθέλοι σκοπεῖν, πολλῷ τινι τῆς δοκούσης
ἐπιτετάχθαι Λακεδαιμονίοις καρτερίας μείζονας ἄθλους καὶ πόνους
ἡμῖν ἐπιτεθέντας * οἱ μέν γε μήτε γῆν ἐργαζόμενοι μήτε περὶ 229
τέχνας πονοῦντες ἀλλὰ πάσης ἐργασίας ἄφετοι λιπαροὶ καὶ τὰ σώ-
ματα πρὸς κάλλος ἀσκοῦντες ἐπὶ τῆς πόλεως διῆγον, ἄλλοις ὑπη- 230
ρέταις πρὸς ἅπαντα τὰ τοῦ βίου χρώμενοι καὶ τὴν τροφὴν ἑτοίμην
παρ' ἐκείνων λαμβάνοντες, ἐφ' ᾗ δὴ τοῦτο μόνον τὸ καλὸν ἔργον
καὶ φιλάνθρωπον ἅπαντα καὶ πράττειν καὶ πάσχειν ὑπομένοντες
τὸ κρατεῖν πάντων, ἐφ' οὓς ἂν στρατεύωσιν. ὅτι δὲ μηδὲ τοῦτο 231
κατώρθωσαν, ἐῶ λέγειν· οὐ γὰρ καθ' ἕνα μόνον, ἀλλὰ πολλοὶ
πολλάκις ἀθρόως τῶν τοῦ νόμου προσταγμάτων ἀμελήσαντες αὐ-
τοὺς μετὰ τῶν ὅπλων παρέδοσαν τοῖς πολεμίοις.

32. Ἆρ' οὖν καὶ παρ' ἡμῖν, οὐ λέγω τοσούτους, ἀλλὰ δύο ἢ 232
τρεῖς ἔγνω τις προδότας γενομένους τῶν νόμων ἢ θάνατον φοβη-
θέντας, οὐχὶ τὸν ῥᾷστον ἐκεῖνον λέγω τὸν συμβαίνοντα τοῖς μαχο-
μένοις, ἀλλὰ τὸν μετὰ λύμης τῶν σωμάτων, ὁποῖος εἶναι δοκεῖ
πάντων χαλεπώτατος; ὃν ἔγωγε νομίζω τινὰς κρατήσαντας ἡμῶν 233
οὐχ ὑπὸ μίσους προσφέρειν τοῖς ὑποχειρίοις, ἀλλὰ [ὡς] θαυμαστόν
τι θέαμα βουλομένους ἰδεῖν, εἴ τινές εἰσιν ἄνθρωποι μόνον εἶναι
κακὸν αὐτοῖς πεπιστευκότες, εἰ πρᾶξαί τι παρὰ τοὺς ἑαυτῶν νό-

---

LLat Eusebius praep. euang. VIII 8. 55.

2 *προύδομεν*] *προάγομεν* L *(a legibus) sumus alienati* Lat; fin. Euseb *τρυφῆς*] Dindorf *τροφῆσ* L *epulationis* Lat 3 *πολλῷ* — 5 *ἐπιτεθέντας*] *multo ampliori testimonio maiores excubias et labores nobis quam lacedaemoniis uidebit impositos* Lat 4 *καρτερίας*] Cotelerius *μαρτυρίασ* L; tum *ἂν εὕροι* uel simile addendum 5 *ἐπιτεθέντας*] ex Lat *ἐπιτιθέντασ* L *ἐπιτιθέντες* Lowthius *οἱ μέν γε*] *illi siquidem* Lat; *οἵ γε* conicerem si ad *Λακεδαιμονίοις* referri posset *μήτε* (ante *γῆν*) om. Lat 6 *πονοῦντεσ* ex *ποιοῦντεσ* corr. L 9 *ἐφ' ᾗν* — 11 *κρατεῖν*] *sorum opus bonum atque clemens iudicantes ad faciendum et patiendum quatenus praeualerent* Lat *ἐφ' ᾗν δὴ τοῦτο μόνον*] *ἐφ' ἓν δὴ τοῦτο μόνον* Bekker *διὰ τοῦτο μόνον* uel *ἐφ' ἑνὶ δὴ τούτῳ* (et u. 11 *τῷ κρατεῖν*) coni. *τὸ καλὸν* — *φιλάνθρωπον* spuria uid. 16 *ἔγνω τις*] ed. pr. *ἔγνων* L *agnili sunt* Lat *φοβηθέντας* om. Lat 19 *ὃν* — 20 *ὑποχειρίοις*] *quam ut ego puto quidam praeualentes nobis non per odium subiectis imposuerunt* Lat *ὃν*] ex Lat *ὅσον* L *ὥστ'* ed. pr. 20 *προσφέρειν τοῖς*] *προσφέρεσθαι ὡς* ed. pr. *ὡς* spurium uid. 21 *βουλομένους*] ed. pr. *βουλόμενοσ* L *ἄνθρωποι*] coni. *οἱ ἄνθρωποι* L *ἄνθρωποι οἱ* ed. pr. *μόνον* — 22 *πεπιστευκότες*] *qui hoc tantummodo esse credant pessimum* Lat 22 *αὐτοῖς*] ed. pr. *αὐτουσ* L *εἰ* — 90, 1 *παραβιασθεῖεν*] *εἰ ἢ πρᾶξαί τι παρὰ τοὺς ἑαυτῶν νόμους ἢ μόνον εἰπεῖν βιασθεῖεν* coni.

234 μους εἰ λόγον εἰπεῖν παρ᾽ ἐκείνοις παραβιασθεῖεν. οὐ χρὴ δὲ
θαυμάζειν, εἰ πρὸς θάνατον ἀνδρείως ἔχομεν ὑπὲρ τῶν νόμων
παρὰ τοὺς ἄλλους ἅπαντας· οὐδὲ γὰρ τὰ ῥᾷστα δοκοῦντα τῶν
ἡμετέρων ἐπιτηδευμάτων ἄλλοι ῥᾳδίως ὑπομένουσιν, αὐτουργίαν
λέγω καὶ τροφῆς λιτότητα καὶ τὸ μηδὲν εἰκῇ μηδ᾽ ὡς ἔτυχεν ἕκα- 5
στος ἐπιτεθυμηκὼς φαγεῖν ἢ πιεῖν ἢ συνουσίᾳ προσελθεῖν ἢ πολυ-
235 τελείᾳ καὶ πάλιν ἀργίας ὑπομεῖναι τάξιν ἀμετακίνητον. ἀλλ᾽ οἱ
τοῖς ξίφεσιν ὁμόσε χωροῦντες καὶ τοὺς πολεμίους ἐξ ἐφόδου τρε-
πόμενοι τοῖς προστάγμασιν τοῖς περὶ διαίτης οὐκ ἀντέβλεψαν.
ἡμῖν δὲ πάλιν ἐκ τοῦ περὶ ταῦτα τῷ νόμῳ πειθαρχεῖν ἡδέως κἀκεῖ 10
περίεστιν ἐπιδείκνυσθαι τὸ γενναῖον.

236 33. Εἶτα Ἀυσίμαχοι καὶ Μόλωνες καὶ τοιοῦτοί τινες ἄλλοι
συγγραφεῖς, ἀδόκιμοι σοφισταί, μειρακίων ἀπατεῶνες, ὡς πάνυ
237 ἡμᾶς φαυλοτάτους ἀνθρώπων λοιδοροῦσιν. ἐγὼ δ᾽ οὐκ ἂν ἐβου-
λόμην περὶ τῶν παρ᾽ ἑτέροις νομίμων ἐξετάζειν· τὰ γὰρ αὐτῶν 15
ἡμῖν φυλάττειν πάτριόν ἐστιν, οὐ τῶν ἀλλοτρίων κατηγορεῖν. καὶ
περί γε τοῦ μήτε χλευάζειν μήτε βλασφημεῖν τοὺς νομιζομένους
θεοὺς παρ᾽ ἑτέροις ἄντικρυς ἡμῖν ὁ νομοθέτης ἀπείρηκεν αὐτῆς
238 ἕνεκα προσηγορίας τοῦ θεοῦ. τῶν δὲ κατηγόρων διὰ τῆς ἀντι-
παραθέσεως ἡμᾶς ἐλέγχειν οἰομένων οὐχ οἷόν τε κατασιωπᾶν, ἄλ- 20
λως τε καὶ τοῦ λόγου μέλλοντος οὐχ ὑφ᾽ ἡμῶν ἐλεγχθήσεσθαι νῦν
αὐτῶν συντιθέντων, ἀλλὰ ὑπὸ πολλῶν εἰρημένου καὶ λίαν εὐδο-
239 κιμούντων. τίς γὰρ τῶν παρὰ τοῖς Ἕλλησιν ἐπὶ σοφίᾳ τεθαυμασ-
μένων οὐκ ἐπιτετίμηκεν καὶ ποιητῶν τοῖς ἐπιφανεστάτοις καὶ νομο-
θετῶν τοῖς μάλιστα πεπιστευμένοις, ὅτι τοιαύτας δόξας περὶ θεῶν 25
240 ἐξ ἀρχῆς τοῖς πλήθεσιν ἐγκατέσπειραν, ἀριθμῷ μὲν ὁπόσους ἂν
αὐτοὶ θελήσωσιν ἀποφαινόμενοι ἐξ ἀλλήλων δὲ γινομένους καὶ
κατὰ παντοίους τρόπους γενέσεων, τούτους δὲ καὶ διαιροῦντες τό-

---

1 εἰ] *uel* Lat ἢ ed. pr. ἐκείνους ed. pr. 5 μηδ᾽ ὡς — 6 φαγεῖν] *neque fortuito quod quisque desiderat uescatur* Lat 6 ἐπιτεθυμηκὼς] Hudson ἐποτεθύμηκεν L ὑποτεθυμηκὼς ed. pr. πολυτελείᾳ] LLat, desideratur genetiuus uelut ἐργασίας 7 ἀλλ᾽ εἰ] *sed illud adtendendum est si* Lat οἱ] ed. pr. εἰ L 9 ἀντέβλεψαν] Grotius ἄν τισ βλέψειεν L *infringimus* Lat ἀντιβλέψειαν ed. pr. 12 Μόλωνες] ed. pr. ex Lat σόλωνεσ L 20 οὐχ] ed. pr. οὐκ L οἷόν τε L¹ ἄλλως τε — 23 εὐδοκιμούντων] *cum utique non a nobis nunc sermo compositus uos arguere uideatur, sed a multis probabiliter iam praemissus* Lat ἄλλως τε καὶ τοῦ μέλλοντος λεχθήσεσθαι νῦν οὐχ ὑφ᾽ ἡμῶν αὐτῶν συντιθέντος ἀλλὰ — εὐδοκιμούντων coni. 21 νῦν αὐτῶν] νῦν αὐτὸν ed. pr. τῶν νῦν αὐτὸν Hudson 22 εὐδοκιμούντων] Lowthius εὐδοκιμοῦντοσ L 27 ἀποφαινόμενοι] coni. *dicentes* Lat ἀποφήνασθαι L, cui propius est ἀποφηνάμενοι 28 τούτους δὲ spurium uid. καὶ post δὲ om. Lat

ποις καὶ διαίταις, ὥσπερ τῶν ζῴων τὰ γένη, τοὺς μὲν ὑπὸ γῆν, τοὺς δὲ ἐν θαλάττῃ, τοὺς μέντοι πρεσβυτάτους αὐτῶν ἐν τῷ ταρτάρῳ δεδεμένους * ὅσοις δὲ τὸν οὐρανὸν ἀπένειμαν τούτοις πατέρα 241
μὲν τῷ λόγῳ, τύραννον δὲ τοῖς ἔργοις καὶ δεσπότην ἐφιστάντες,
καὶ διὰ τοῦτο συνισταμένην ἐπιβουλὴν ἐπ᾽ αὐτὸν ὑπὸ γυναικὸς
καὶ ἀδελφοῦ καὶ θυγατρός, ἣν ἐκ τῆς ἑαυτοῦ κεφαλῆς ἐγέννησεν,
ἵνα δὴ συλλαβόντες αὐτὸν καθείρξωσιν, ὥσπερ αὐτὸς ἐκεῖνος τὸν
πατέρα τὸν ἑαυτοῦ.

34. Ταῦτα δικαίως μέμψεως πολλῆς ἀξιοῦσιν οἱ φρονήσει 242
διαφέροντες καὶ πρὸς τούτοις καταγελῶσιν, εἰ τῶν θεῶν τοὺς μὲν
ἀγενείους καὶ μειράκια, τοὺς δὲ πρεσβυτέρους καὶ γενειῶντας εἶναι
χρὴ δοκεῖν, ἄλλους δὲ τετάχθαι πρὸς ταῖς τέχναις, χαλκεύοντά τινα,
τὴν δὲ ὑφαίνουσαν, τὸν δὲ πολεμοῦντα καὶ μετὰ ἀνθρώπων μαχό-
μενον, τοὺς δὲ κιθαρίζοντας ἢ τοξικῇ χαίροντας, εἶτ᾽ αὐτοῖς ἐγγιγνο- 243
μένας πρὸς ἀλλήλους στάσεις καὶ περὶ ἀνθρώπων φιλονεικίας μέχρι
τοῦ μὴ μόνον ἀλλήλοις τὰς χεῖρας προσφέρειν, ἀλλὰ καὶ ὑπ᾽ ἀν-
θρώπων τραυματιζομένους ὀδύρεσθαι καὶ κακοπαθεῖν. τὸ δὲ δὴ 244
πάντων ἀσελγέστερον, τὴν περὶ τὰς μίξεις ἀκρασίαν καὶ τοὺς ἔρω-
τας πῶς οὐκ ἄτοπον μικροῦ δεῖν ἅπασι προσάψαι καὶ τοῖς ἄρρεσι
τῶν θεῶν καὶ ταῖς θηλείαις; εἶθ᾽ οἱ γενναιότατοι καὶ πρῶτος αὐ- 245
τὸς ὁ πατὴρ τὰς ἀπατηθείσας ὑπ᾽ αὐτοῦ καὶ γενομένας ἐγκύους
καθειργνυμένας ἢ καταποντιζομένας περιορᾷ καὶ τοὺς ἐξ αὐτοῦ
γεγονότας οὔτε σώζειν δύναται κρατούμενος ὑπὸ τῆς εἱμαρμένης
οὔτ᾽ ἀδακρυτὶ τοὺς θανάτους αὐτῶν ὑπομένειν. καλά γε ταῦτα 246
καὶ τοῖς ἄλλοις ἑπόμενα, μοιχείας μὲν ἐν οὐρανῷ βλεπομένης οὕτως
ἀναισχύντως ὑπὸ τῶν θεῶν, ὥστε τινὰς καὶ ζηλοῦν ὁμολογεῖν τοὺς
ἐπ᾽ αὐτῇ δεδεμένους· τί γὰρ οὐκ ἔμελλον, ὁπότε μηδ᾽ ὁ πρεσβύ-
τατος καὶ βασιλεὺς ἠδυνήθη τῆς πρὸς τὴν γυναῖκα μίξεως ἐπισχεῖν

